41 καὶ παντελῶς ἀδύνατα γενέσθαι. ὅθεν δὲ τὸ ψεῦδος τοῦτο ἐπιφέρουσιν, ἐγὼ διδάξω ὑμᾶς προειπὼν ὧν ἕνεκα οἱ νόμοι ἐτέθησαν οἱ περὶ τῶν ἐν τῷ θεάτρῳ κηρυγμάτων. γιγνομένων γὰρ τῶν ἐν ἄστει τραγῳδῶν ἀνεκήρυττόν τινες, οὐ πείσαντες τὸν δῆμον, οἱ μὲν ὅτι στεφανοῦνται ὑπὸ τῶν φυλετῶν, ἕτεροι δ' ὅτι ὑπὸ τῶν δημοτῶν· ἄλλοι δέ τινες ὑποκηρυξάμενοι τοὺς αὑτῶν οἰκέτας ἀφίεσαν ἐλευθέρους, μάρτυρας τοὺς Ἕλληνας ποιούμενοι. 42 ὃ δ' ἦν ἐπιφθονώτατον, προξενίας τινὲς εὑρημένοι ἐν ταῖς ἔξω πόλεσι διεπράττοντο ἀναγορεύεσθαι ὅτι στεφανοῖ αὐτοὺς ὁ δῆμος, εἰ οὕτω τύχοι, ὁ τῶν Ῥοδίων ἢ Χίων [ἢ καὶ ἄλλης τινὸς πόλεως] ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας. καὶ ταῦτ' ἔπραττον οὐχ ὥσπερ οἱ ὑπὸ τῆς βουλῆς τῆς ὑμετέρας στεφανούμενοι ἢ ὑπὸ τοῦ δήμου, πείσαντες ὑμᾶς καὶ μετὰ ψηφίσματος, πολλὴν χάριν καταθέμενοι,

1 ὅθεν δὲ W, ὅθεν δὲ δὴ C. 3 ἐξετέθησαν a. τῷ *om*. A. 6 ὅτι *add*. Cob. 7 δέ *om*. A. ἀφίεσαν ἐλευθέρους Cob., ἀφίεσαν (ἀφεῖσαν A) ἀπελευθέρους C. Adiectivum *del*. Dindorf. 8 post μάρτ. *add*. B τῆς ἀπελευθερίας, quod in A post Ἕλληνας positum est, del. Cob. 9 εὑρ. τινὲς A. 12 ἢ καὶ . . πόλεως del. W, τινὸς ἄλλης A. ἕνεκα ἀρετῆς B. 13 οἱ *om*. B.

*παντελῶς ἀδύνατα*] Quodsi omnino fieri potuit, ut leges inter se contrariae abolendae aut mutandae viderentur, quidni eo ipso tempore quo Ctesipho legem suam ferebat eiusmodi leges contrariae tamen valere poterant?

§ 41. *διδάξω*] Marcellinus in Rhet. Graec. Walz. IV 510: *χρὴ γὰρ τὴν τοῦ τιθέντος νομοθέτου γνώμην ἐπισκοπεῖν καὶ ἀναπλάττειν πρὸς τὸ οἰκεῖον συμφέρον τὸν ῥήτορα*. Hoc potissimum fit: *ἐὰν κοινὸς ᾖ ὁ νόμος καὶ οὐδὲν μᾶλλον πρὸς αὐτοῦ ἢ τοῦ ἐναντίου ἔσται τὸ ῥητὸν ἀναγιγνωσκόμενον*, ibid. 511.

*γιγνομένων — τραγῳδῶν*] Ex § 154: *μελλόντων ὥσπερ νυνὶ τῶν τραγῳδῶν γίγνεσθαι* hoc elucet significari illa formula actionis fabularum et poetarum vel tragoedorum certaminis initium. Renuntiationes igitur antea fiebant quam poetae in certamen descenderent. *Τραγῳδοὶ* autem *γίγνονται* initio proprie significasse videtur: poetae se tragoedos praestant, paulatim autem haec dictio detorta est ad actionem fabularum designandam.

*ἕτεροι δ' ὅτι*] Sic recte emendavit Cobet N. L. 101, cf. 178 ubi item in uno libro *ὅτι* intercidit, 193.

*ὑποκηρυξάμενοι*] = Praeconis ore denuntiantes, cf. Plato Protag. 348e: *σύ γ' ἀναφανδὸν σεαυτὸν ὑποκηρυξάμενος εἰς πάντας τοὺς Ἕλληνας σοφιστὴν ἐπονομάσας*.

*ἀφίεσαν ἐλευθέρους*] Pro manumitto Attici dicebant *ἀφίημι ἐλεύθερον*, nunquam *ἀπελευθέρους*. Cobet Nov. Lect. 103 sq. Manumissi dicebantur *ἀπελεύθεροι*. Cobet Nov. L. 104. Dindorf Thes. s. v. *ἀφίημι*.

*χάριν καταθέμενοι*] Propria dictio est *ἀργύριον καταθέσθαι* pecuniam tradere custodiendam, hinc figurate dicitur *εὐεργεσίαν*, *χάριν καταθέσθαι πρὸς* et *εἰς*

ἀλλ' αὐτοὶ προελόμενοι ἄνευ δόγματος ὑμετέρου. ἐκ δὲ 43
τούτου τοῦ τρόπου συνέβαινε τοὺς μὲν θεατὰς καὶ τοὺς
χορηγοὺς καὶ τοὺς ἀγωνιστὰς ἐνοχλεῖσθαι, τοὺς δὲ ἀνα-
κηρυττομένους ἐν τῷ θεάτρῳ μείζοσι τιμαῖς τιμᾶσθαι τῶν
ὑπὸ τοῦ δήμου στεφανουμένων. τοῖς μὲν γὰρ ἀπεδέ-
δεικτο τόπος ἡ ἐκκλησία, ἐν ᾗ χρῆν στεφανοῦσθαι, καὶ
ἀπείρητο ἄλλοθι μηδαμοῦ κηρύττεσθαι· οἱ δὲ ἀνηγορεύ-
οντο ἐναντίον ἁπάντων τῶν Ἑλλήνων. συνιδὼν δή τις 44
ταῦτα νομοθέτης τίθησι νόμον οὐδὲν ἐπικοινωνοῦντα τῷ
περὶ τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων [νόμῳ], οὔτε λύ-
σας ἐκεῖνον· οὐ γὰρ ἡ ἐκκλησία ἠνωχλεῖτο, ἀλλὰ τὸ θέα-
τρον· οὔτ' ἐναντίον τοῖς πρότερον κειμένοις νόμοις τιθείς·
οὐ γὰρ ἔξεστιν· ἀλλὰ περὶ τῶν ἄνευ ψηφίσματος ὑμετέ-
ρου στεφανουμένων ὑπὸ τῶν δημοτῶν καὶ περὶ τῶν τοὺς
οἰκέτας ἀπελευθερούντων καὶ περὶ τῶν ξενικῶν στεφά-
νων, καὶ διαρρήδην ἀπαγορεύει μήτ' οἰκέτην ἀπελευθε-
ροῦν ἐν τῷ θεάτρῳ μήθ' ὑπὸ τῶν [φυλετῶν ἢ] δημοτῶν

2 συμβαίνει el. καὶ τοὺς χορηγοὺς *om.* el. 4 τιμαῖς *om.* B. 8 ἐναντίον Cob., ἐνώπιον C. post Ἑλλήνων *add.* C: κἀκεῖνοι μὲν μετὰ ψηφίσματος, πείσαντες ὑμᾶς, οὗτοι δ' (οἱ δ' A) ἄνευ ψηφίσματος, del. W. συνειδὼς A. δέ A. 9 μηδὲν gmn. τῷ *om.* a. 10 περὶ *om.* Aa. 11 οὐ A, οὐδὲ B, ex dittogr. natum. ἠνωχλεῖτο eB, ἐνωχλεῖτο kl. 12 τίθησιν A. 14 ὑπὸ τῶν δημοτῶν W, ὑπὸ τῶν δημ. καὶ τῶν φυλετῶν A, ὑπὸ τῶν φυλ. καὶ δημ. B. 17 φυλετῶν ἢ incl. W.

*τινά* vel *τινί* = pro beneficio conlocare tamquam memorem animum. Sortis enim instar esse solet beneficium fenore datae vel depositae. Weber Aristocr. § 17. Maetzner Antiph. 5, 61. Contrarium dicitur de populo: *χάριν ἀποδιδόναι τινί.*

§ 43. *ἐναντίον ἁπάντων τῶν Ἑλλήνων*] Sic cum aliis locis constanter Aeschines tum prorsus *ἐνώπιον* abhorret ab Attici sermonis usu, cf. Hesych. II 85 *ἐναντίον· ἐνώπιον.* Hoc igitur in consuetudine erat grammaticorum.

§ 44. *οὐδὲν ἐπικοινωνοῦντα*] Hoc mihi Aeschines recte iudicasse videtur. Nam eis qui aut a peregrinis aut a tribulibus laudarentur, populus hunc honorem poterat concedere ut publice eorum laudes in theatro praedicarentur. Atque huc pertinere videtur illa quam Demosthenes attulit exceptio. At populus cum ipse se lege obstrinxisset, ut quos cohonestare vellet, nusquam nisi in publica contione renuntiaret, nisi antea hanc ipsam legem abrogasset, ex hac necessitate se eximere non potuit.

*ἄνευ ψηφίσματος ὑμετέρου*] Quia a demotis laudarentur nulla rogatione ad populum facta, num renuntiationem in theatro fieri liceret. Demotae autem saepenumero ita nominantur, ut hoc nomen simul tribules vel phyletas conplectatur. In ipsis legis verbis paulo post nescio an oratio est certior et accuratior.

ἀναγορεύεσθαι στεφανούμενον, μηδ' ὑπ' ἄλλου φησὶ
45 μηδενός, ἢ ἄτιμον εἶναι τὸν κήρυκα. ὅταν οὖν ἀποδείξῃ τοῖς μὲν ὑπὸ τῆς βουλῆς στεφανουμένοις εἰς τὸ βουλευτήριον ἀναρρηθῆναι, τοῖς δ' ὑπὸ τοῦ δήμου στεφανουμένοις εἰς τὴν ἐκκλησίαν, τοῖς δ' ὑπὸ τῶν δημοτῶν στεφανουμένοις [καὶ φυλετῶν] ἀπείπῃ μὴ κηρύττεσθαι τοῖς τραγῳδοῖς, ἵνα μηδεὶς ἐρανίζων στεφάνους καὶ κηρύγματα ψευδῆ φιλοτιμίαν κτᾶται, προσαπείπῃ δ' ἐν τῷ νόμῳ μηδ' ὑπὸ ἄλλου μηδενός, — ὅταν δέ τις ταῦτα ἀφέλῃ, τί τὸ καταλειπόμενόν ἐστι πλὴν οἱ ξενικοὶ στέ-
46 φανοι; ὅτι δ' ἀληθῆ λέγω, σημεῖον ὑμῖν τούτου ἐξ αὐτῶν τῶν νόμων ἐπιδείξω. αὐτὸν γὰρ τὸν χρυσοῦν στέφανον, ὃς ἂν ἐν τῷ θεάτρῳ τῷ ἐν ἄστει ἀναρρηθῇ, ἱερὸν εἶναι τῆς Ἀθηνᾶς κελεύει ὁ νόμος, ἀφελόμενος τὸν στεφανούμενον. καίτοι τίς ἂν ὑμῶν τολμήσειε τοσαύτην ἀνελευθερίαν καταγνῶναι; μὴ γὰρ ὅτι πόλις, ἀλλ' οὐδ'

1 μηδ' Sauppe, μηθ' C. 2 κηρύξαντα kl. 4. 5 στεφανουμένοις bis del. Cob. 6 καὶ φυλετῶν incl. W. 9 μηθ' e. Post μηδενὸς *add.* C: ἀνακηρύττεσθαι, ἀπούσης βουλῆς καὶ δήμου καὶ φυλετῶν καὶ δημοτῶν, del. Taylor et Ham. 10 ἀφέληται B. 11 σημεῖον ὑμῖν W, σημεῖον ὑμῖν μέγα A, μέγα σημ. ὑμῖν B. 14 κελεύει ὁ νόμος Bl, ὁ νόμος κελεύει ek. 16 καταγνῶναι W, τοῦ δήμου τῶν (τοῦ ek) Ἀθηναίων καταγν. A, καταγν. τοῦ δήμου τῶν Ἀθ. B. πολίτης el.

*μηδ' ὑπ' ἄλλου μηδενός*] Cf. § 45. Si paria membra efferrentur, necessarium esset *μήτε*, nunc ut *φησὶ* indicat oratio declinat ad conclusionem et consummationem.

§ 45. *εἰς τὸ βουλευτήριον*] sc. *ἰόντες*.

*ἐρανίζων* ] figurate: aliquid emendicare, humili modo consectari, cf. Casaub. Theophr. Char. 15, 2.

*τοῖς τραγῳδοῖς*] Corp. Inscr. I 145: *ἀνειπεῖν τὸν στέφανον Διονυσίων τῶν μεγάλων τραγῳδοῖς ἐν τῷ θεάτρῳ.*

*ἀφέλῃ*] Cum senatus et populus et tribules nominatim excepti sint, videlicet non omnes in lege Dionysiaca, sed propria illa lege quam attigit § 32. Quare ne στάσις quidem ex ambiguo cogitari potest, quonam referendum sit illud Demosthenicum *εἰ μή τινάς* etc.

*τί τὸ καταλειπόμενον*] Eademque argumentandi concludendique forma usus est Aeschines § 30.

§ 46. *σημεῖον*] Anaxim. 12 (Sp.): *σημεῖον δέ ἐστι τό γε εἰθισμένον γίγνεσθαι πρὸ τοῦ πράγματος ἢ ἅμα τῷ πράγματι ἢ μετὰ τὸ πρᾶγμα . . ποιεῖ δὲ τῶν σημείων τὸ μὲν οἴεσθαι τὸ δὲ εἰδέναι, κάλλιστον δὲ τὸ εἰδέναι ποιοῦν, δεύτερον δὲ τὸ δόξαν πιθανωτάτην ἐργαζόμενον*, cf. Dem. Eubul. 13: *οἱ δὲ λαμβάνοντες δύο καὶ τρεῖς ψήφους ἕκαστος παρὰ τούτου ἐνέβαλλον εἰς τὸν καδίσκον. σημεῖον δέ· οἱ μὲν γὰρ ψηφισάμενοι οὐ πλείους ἢ τριάκοντ' ἦσαν, αἱ δὲ ψῆφοι ἠριθμήθησαν πλείους ἢ ἑξήκοντα, ὥστε πάντας ἡμᾶς ἐκπλαγῆναι.*

ἂν ἰδιώτης οὐδὲ εἷς οὕτως ἀγεννὴς γένοιτο, ὥστε ὃν ἂν αὐτὸς ἔδωκε στέφανον ἅμα ἀνακηρύττειν καὶ ἀφαιρεῖσθαι [καὶ καθιεροῦν]. ἀλλ' οἶμαι διὰ τὸ ξενικὸν εἶναι τὸν στέφανον καὶ ἡ καθιέρωσις γίγνεται, ἵνα μηδεὶς ἀλλοτρίαν εὔνοιαν περὶ πλείονος ποιούμενος τῆς πατρίδος χείρων γένηται τὴν ψυχήν. ἀλλ' οὐκ ἐκεῖνον τὸν ἐν τῇ 47 ἐκκλησίᾳ στέφανον οὐδεὶς καθιεροῖ, ἀλλ' ἔξεστι κεκτῆσθαι, ἵνα μὴ μόνον αὐτὸς ἀλλὰ καὶ οἱ ἐξ ἐκείνου, ἔχοντες ἐν τῇ οἰκίᾳ ἀεὶ ὑπόμνημα, μηδέποτε κακοὶ τὴν ψυχὴν εἰς τὸν δῆμον γίγνωνται. καὶ διὰ τοῦτο προσέθηκεν ὁ νομοθέτης μηδὲ κηρύττεσθαι τὸν ἀλλότριον στέφανον, ἐὰν μὴ ψηφίσηται ὁ δῆμος, ἵν' ἡ πόλις ἡ βουλομένη τινὰ τῶν ὑμετέρων στεφανοῦν πρέσβεις πέμψασα δεηθῇ τοῦ δήμου, ἵνα κηρυττόμενος μείζω χάριν εἰδῇ τῶν στεφανούντων ὑμῖν, ὅτι κηρῦξαι ἐπετρέψατε. ὅτι δ' ἀληθῆ λέγω, αὐτῶν τῶν νόμων ἀκούσατε.

*ΝΟΜΟΙ.*

Ἐπειδὰν τοίνυν ἐξαπατῶντες ὑμᾶς λέγωσιν, ὡς προσ- 48 γέγραπται ἐν τῷ νόμῳ ἐξεῖναι στεφανοῦν, ἐὰν ψηφίσηται ὁ δῆμος, ἀπομνημονεύετε αὐτοῖς ὑποβάλλειν· ναὶ εἴ γε σέ τις ἄλλη πόλις στεφανοῖ· εἰ δὲ ὁ δῆμος ὁ Ἀθηναίων,

1 οὐδεὶς a. γένοιτο ἀγεννὴς a. ἂν *add.* e. 2 ἅμα καὶ gm. 4 ἱέρωσις A. 5 ἔννοιαν e. 7 στέφανον W, ἀναρρηθέντα στέφ. A, στέφ. ἀναρρ. B. 8 καὶ οἱ ἐξ αὐτοῦ, ἐκεῖνο Bake. 9 ἀεὶ W, τὸ Aag, τι mn, Bake τὸ del. 11 μηδὲ W, μήτε A, μὴ B. post στέφανον *add.* C: ἐν τῷ θεάτρῳ, del. W. 12 πολιτῶν τινα τῶν ὑμετέρων Ham., fort. τινὰ τῶν ὑμετέρων ῥητόρων, nisi haec sententia nimis angusta videretur. 15 Post ὑμῖν *add.* C: ἢ τοῖς στεφανοῦσιν, sustulit H. Wolf. 16 αὐτῶν *om.* A. post νόμων *add.* B. 17 προγέγραπται Bl. 19 ὑπομνημονεύετε A. 20 ὁ Ἀθ. δῆμος l.

§ 47. *μηδὲ κηρύττεσθαι*] Necessarium est *μηδὲ* propterea quod hoc additamentum legis contineri putavit Aeschines illa clausula (§ 45) *μηδ' ὑπ' ἄλλου μηδενός*. Eademque causa dixit *προσέθηκεν*.

*τῶν στεφανούντων*] = *ἢ τοῖς αὐτὸν στεφανοῦσιν*. Liberiorem hoc in genere Graecorum sermonem esse constat, cf. Dem. 3, 32; 9, 40; 20, 135. Xen. Cyr. II, 1, 17.

§ 48. *ἐξαπατῶντες*] Participium non tam conatum quam ipsam fraudulentam adversariorum actionem denotat.

*ἐξεῖναι στεφανοῦν*] Ut addatur *ἐν τῷ θεάτρῳ* necessarium non est. Contextus enim ipse docet de alia coronatione cogitari non posse nisi quae futura sit in theatro.

*ἀπομνημονεύετε ὑποβάλλνιν*] Circumscriptio ista non poëticam vim habet ut Horatii illud *memento servare*, sed ad memoriae constantiam recordationisque vim excitat.

*ἀποδέδεικταί σοι τόπος, ὅπου δεῖ τοῦτο γίγνεσθαι, ἀπείρηταί σοι ἔξω τῆς ἐκκλησίας μὴ κηρύττεσθαι. τὸ γὰρ „ἄλλοθι δὲ μηδαμοῦ“ ὅ τι ἔστιν, ὅλην τὴν ἡμέραν λέγε· οὐ γὰρ ἀποδείξεις, ὡς οὗτος ἔννομα γέγραφεν.*

49 *Ἔστι δὲ ὑπόλοιπόν μοι μέρος τῆς κατηγορίας, ἐφ᾽ ᾧ μάλιστα σπουδάζω· τοῦτο δέ ἐστιν ἡ πρόφασις, δι᾽ ἣν αὐτὸν ἀξιοῖ στεφανοῦσθαι. λέγει γὰρ οὕτως ἐν τῷ ψηφίσματι· „καὶ τὸν κήρυκα ἀναγορεύειν ἐν τῷ θεάτρῳ πρὸς τοὺς Ἕλληνας ὅτι στεφανοῖ αὐτὸν ὁ δῆμος ὁ*

1 *ἀποδέδεικτό* B. *γενέσθαι* B. 3 *δὲ om.* a. *τὴν om.* el. 4 *οὗτος add.* W. *γέγραφεν* A, *γέγραφας* B. 9 *ὁ Ἀθην.* W, *ὁ τῶν Ἀθην.* C.

*ἀπείρηταί σοι*] Asyndeton adversativum. Quare verbum *ἀπείρηται* superiori verbo *ἀποδέδεικταί σοι τόπος* contrarie elatum primum locum enuntiationis obtinet. Copulam autem saepe omitti, ubi de re antea exposita iudicium feratur (cf. § 33) vel uno quasi verbo prius dicta conprehendantur, bene observavit Funkhaenel Quaestt. Dem. 37, cf. G. Herm. Opusc. 6, 16. Sauppe Dem. Phil. I 33. Explicativum asyndeton habes I 193: *ἀλλ᾽ ἐκεῖνο ποιήσω· ἀφελὼν τὰ ὀνόματα, διεξιὼν δὲ τὰ ἐπιτηδεύματα αὐτῶν καὶ τὰ σώματα γνώριμα καταστήσω.*

§ 49. § 49—50 prooemium quasi tertiae eiusdemque amplissimae partis efficiunt.

*μάλιστα σπουδάζω*] Ingenua profecto accusatoris professio, qui tantum absit ut accusando se prohibere legum neglectionem simulet, ut aperte pronuntiet nisi consilia et actiones Demosthenis tamquam ad reipublicae pestem valere putaret, numquam ad accusandum se descensurum fuisse. Inde apparet Aeschinem non Ctesiphontem magis quam ipsum Demosthenem petiisse, qua arte accusatoria optime in suam defensionem abutitur Demosthenes 5 sqq., cf. 9: *εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον κατηγόρησεν Αἰσχίνης, κἀγὼ περὶ αὐτοῦ τοῦ προβουλεύματος εὐθὺς ἂν ἀπελογούμην*, cf. Speng. 9. 25. Nam ita contigit Demostheni, ut primum diceret de honestate suorum in republica studiorum, deinde quod refutare non posset (*τὸ παράνομον*) intericeret et quasi transiliret, denique ad clarissimum Atheniensium Thebanorumque foedus orationem converteret, cf. Syrianum Rhet. gr. IV 205: *καὶ γὰρ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος οὐκ ἀρκεσθεὶς παράνομον δεῖξαι τὸ γραφὲν κατὰ τοῦ Δημοσθένους ψήφισμα, ἀλλὰ προσθεὶς ὡς οὐδὲ ἄξιος στεφάνου ὁ Δημοσθένης πρόφασιν τῷ ἀντιδίκῳ τῆς τῶν οἰκείων πολιτευμάτων διεξόδου κεχορήγηκεν ἄφθονον· εἰ δὲ περὶ μόνον ἔστη τὸ κρινόμενον, θᾶττον ἂν εἷλε Δημοσθένην Τιμάρχου.* Qua ratione Ctesiphontem poterat condemnare non Demosthenem. Sed enim proposuerat sibi ut aut Demosthenis principatum in republica everteret aut ipse ex civitate excederet.

*ὁ δῆμος ὁ Ἀθηναίων*] Publica in inscriptionibus appellatio est fere semper *ὁ δῆμος ὁ Ἀθηναίων, ὁ δῆμος ὁ Πειραιέων, ὁ δῆμος ὁ Τροιζηνίων, ὁ δῆμος ὁ Σαλαμινίων*, cf. Corp. Inscr. I 113. 126 (bis). 131. 135. 137 (bis). 139 (quater). 143. 144. 149 etc., admodum raro in antiquioribus invenitur *ὁ δῆμος Ἀθηναίων*, cf. I 111. 114, nusquam autem mihi occurrit *ὁ δῆμος ὁ τῶν Ἀθηναίων.*

Ἀθηναίων ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας,“ καὶ τὸ μέγιστον· „ὅτι διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ.“ ἁπλοῦς δὴ παντάπασιν ὁ μετὰ ταῦτα ἡμῖν λόγος 50
γίγνεται, καὶ ὑμῖν ἀκούσασι κρῖναι εὐμαθής· δεῖ γάρ δή που τὸν μὲν κατηγοροῦντα ἐμὲ τοῦθ’ ὑμῖν ἐπιδεικνύναι, ὡς εἰσὶν οἱ κατὰ Δημοσθένους ἔπαινοι ψευδεῖς καὶ ὡς οὔτ’ ἤρξατο [λέγειν τὰ βέλτιστα] οὔτε νῦν διατελεῖ πράττων τὰ συμφέροντα τῷ δήμῳ. κἂν τοῦτ’ ἐπιδείξω, δικαίως δή που τὴν γραφὴν ἁλώσεται Κτησιφῶν· ἅπαντες γὰρ ἀπαγορεύουσιν οἱ νόμοι μηδένα ψευδῆ γράφειν ἐν

2 καὶ λέγων A. τῷ δήμῳ τὰ ἄριστα A. 5 ὑποδεικνύναι e. 10 ψευδῆ l, ψευδῆ γράμματα x. γράφειν el, ἐγγράφειν Bk.

*διατελεῖ λέγων καὶ πράττων*] Haec formula constans et tamquam publica fuisse videtur, cf. Inscr. I 157: *διατετέλεκεν λέγων καὶ πράττων ἀγαθὸν ὅτι ἠδύνατο ὑπέρ τε τῆς βουλῆς καὶ τοῦ δήμου.* I 145: *τῆς ἀρετῆς ἕνεκα καὶ εὐνοίας ἣν ἔχων διατελεῖ πρὸς τὸν δῆμον*, cf. § 101. Dem. 18, 57. 59. 86. Hyp. Eux. col. 18. 23. Rhetorice dicitur § 62: *καὶ λέγειν καὶ πράττειν.*

§ 50. *ἁπλοῦς*] Schol.: *ὅτι τριχῶς λέγεται τὸ ἁπλοῦν, ἢ ἐπὶ τοῦ ἀπανουργήτου ἢ ἐπὶ τοῦ ἐρήμου ἢ ἐπὶ τοῦ συντόμου. ἐνταῦθα οὖν ἁπλοῦν λέγει τὸ σύντομον, ὥσπερ Εὐριπίδης* (Phoen. 472): „*ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.*“ Rectius sic statuas: quod verum est, idem simplex sincerumque est, cf. Cic. Off. I 13. Ut fraudi et malitiae coniuncta sunt falsa et fallentia, sic veritatis propria est simplicitas, cf. Cic. Fin. II 46. Quare saepe occurrit: *θεάσασθε δὴ ὡς ἁπλῶς καὶ δικαίως χρήσομαι τῷ λόγῳ*, cf. Dem. 23, 24.

*κατὰ Δημοσθένους*] *Κατὰ* proprie motum ex superiore loco in inferiorem significat: hinc tropice vel de vituperatione vel de laudibus dicitur, quae quasi deiciuntur in aliquem, unde significationem malam frequentiorem fuisse consentaneum est. Interdum tamen in eiusmodi locutionibus reperitur, in quibus aut omnino quod attinet ad, aut in favorem, honorem, cf. 241. Bremi. Cf. praeterea § 124. Dem. 6, 9. 18, 215.

*ψευδῆ [γράμματα]*] Hoc tam indefinite dictum est ut magnopere verear ne *ῥητορικωτέρως* abusus sit Aeschines iudicum patientia et credulitate et nonnihil calumniae interpretandi indulgeat: *ψευδεγγραφὴ* certe in longe diversissimo negotio versabatur. Bake Hyp. 4, 58. *Ψευδεγγραφή*, de qua vide Schoem. Proz. 338 sq., ab hoc loco prorsus aliena. Quare ne verum quidem esse puto verbum *ἐγγράφειν*, sed *γράφειν* scribendum esse arbitror, cf. Syrian. Rhet. Walz. IV 725: *πρῶτον μὲν ὅτι ψευδῆ γέγραφε περὶ Δημοσθένους [γράμματα] γράψας ὅτι εὔνους· νόμος δέ ἐστιν ὁ κωλύων ψευδῆ εἰσφέρειν γράμματα* (i. e. *ψηφίσματα* vel *γνώμας*). Falsa autem vel fallentia rogare nihil aliud est quam iubere quae noxia civitati futura sint. Noxium autem est reipublicae in hominem prorsus indignum summos honores et laudes conferri. Similique criminatione Demosthenes utitur adversus Aristocratem cum Charidemum indignum eo honore esse arguit, quem ei haberi ille iusserat. Cf. Schoemann Com. 167.

*τοῖς δημοσίοις ψηφίσμασι. τῷ δ' ἀπολογουμένῳ τοὐναν-
τίον τούτου δεικτέον ἐστίν. ὑμεῖς δ' ἡμῖν ἔσεσθε τῶν
λόγων κριταί. ἔχει δ' οὕτως.*

51 *Ἐγὼ τὸν μὲν βίον τὸν Δημοσθένους ἐξετάζειν μακρο-
τέρου λόγου ἔργον ἡγοῦμαι εἶναι. τί γὰρ δεῖ νῦν ταῦτα
λέγειν, ἢ τὰ περὶ τὴν τοῦ τραύματος γραφὴν αὐτῷ συμ-
βεβηκότα, ὅτ' ἐγράψατο εἰς Ἄρειον πάγον Δημομέλην
τὸν Παιανιέα ἀνεψιὸν ὄντα ἑαυτῷ, καὶ τὴν τῆς κεφαλῆς
ἐπιτομήν· ἢ τὰ περὶ τὴν Κηφισοδότου στρατηγίαν καὶ*
52 *τὸν τῶν νεῶν ἔκπλουν τὸν εἰς Ἑλλήσποντον, ὅτε εἷς ὢν
τῶν τριηράρχων [Δημοσθένης] καὶ περιάγων τὸν στρατη-
γὸν ἐπὶ τῆς νεὼς καὶ συσσιτῶν καὶ συνθύων καὶ συσπέν-*

4 *τοῦ Δημ.* en. 6 *αὐτῷ γραφὴν* e. 7 *Δημομέλη* l, em. Sauppe, cf. 2, 93. Franke ad I 100. 8 *Παιανιέα* C, cf. Didym. Schmidt 317. *ὄντα ἑαυτῷ om.* l. 10 *εἰς τὸν* el. 11 *καὶ περιάγων τὸν στρατηγὸν* Bk, *καὶ στρατηγῶν* el.

§ 51. § 51—53: Anteaquam Demosthenis publicas actiones pertractet, suspicionem iudicum in hominem ipsum movere studet, qua re viam sibi aperire conatur. Cum autem privatam Demosthenis vitam examinare et longum et difficile videatur, cum rumore potius populi quam argumentis aut testibus aut quaestionibus uti liceat, ut acrior et criminosior fiat oratio recordando et reticendo quam subtili expositione, eam sibi iam eligit figuram quae vocatur *παρασιώπησις*, cf. Rutil. Lup. II 11. Lycurg. frg. inc. 16 (105). Schol. *ὑποσιώπησις*.

*Δημομέλην*] Qui erat Demonis filius patrui eiusdemque tutoris Demosthenis. Atque ex tutorum simultatibus istae Demomelis et Demosthenis inimicitiae ortae esse videntur, cf. 2, 93. A. Schaefer I 271. De Areopago cf. legem ipsam apud Dem. Aristocr. 22: *δικάζειν δὲ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ φόνου καὶ τραύματος ἐκ προνοίας καὶ πυρκαϊᾶς καὶ φαρμάκων ἐάν τις ἀποκτείνῃ δούς*. Quid autem verba illa *τὰ περὶ τὴν τοῦ τραύματος γραφὴν συμβεβηκότα* sibi velint, patet ex 2, 93: *ὑπέμεινας τὴν ἐπιβολὴν τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου οὐκ ἐπεξιὼν τῇ τοῦ τραύματος γραφῇ*; atque Schol.: *καὶ λαβὼν ἀργύριον οὐχ εἷλε τὴν δίκην ἀλλὰ διελύσατο*. Actionem enim institutam subito abicere non licebat, cf. [Dem.] Mid. 47: *ὅσοι δ' ἂν γράφωνται γραφὰς ἰδίας κατὰ τὸν νόμον, ἐάν τις μὴ ἐπεξέλθῃ ἢ ἐπεξιὼν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, ἀποτισάτω χιλίας δραχμὰς τῷ δημοσίῳ*. Cf. etiam Blass, Att. Beredts. 584, 1.

*Κηφισοδότου*] A. Schaefer I 139 sq. Westerm. Dem. Aristocr. 167: *καὶ πρότερον προσκαθήμενος* (Charidemus Alopeconnesi) *τὸν ὑμέτερον στρατηγὸν ἔπεισε καὶ ἠνάγκασε μὴ τὰ βέλτισθ' ὑπὲρ ὑμῶν πράττειν, ἢ αὐτὸς ὑπὸ τούτου ἐπείσθη ὧν ὡμολογήκει καὶ ὑπέσχετό τι πρᾶξαι, καὶ γράφει δὴ τὰς συνθήκας ταύτας τὰς πρὸς Κηφισόδοτον, ἐφ' αἷς ὑμεῖς οὕτως ἠγανακτήσατε καὶ χαλεπῶς ἠνέγκατε, ὥστ' ἀπεχειροτονήσατε μὲν τὸν στρατηγόν, πέντε ταλάντοις δ' ἐζημιώσατε, τρεῖς δὲ μόναι ψῆφοι διήνεγκαν τὸ μὴ θανάτου τιμῆσαι*. Cf. etiam A. Schaefer I 410, 4.

δων, καὶ τούτων ἀξιωθεὶς διὰ τὸ πατρικὸς αὐτῷ φίλος
εἶναι, οὐκ ὤκνησεν ἀπ' εἰσαγγελίας αὐτοῦ κρινομένου
περὶ θανάτου κατήγορος γενέσθαι· καὶ ταῦτ' ἤδη τὰ
περὶ Μειδίαν καὶ τοὺς κονδύλους, οὓς ἔλαβεν ἐν τῇ ὀρ-
χήστρᾳ χορηγὸς ὤν, καὶ ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα
τήν τε εἰς αὑτὸν ὕβριν καὶ τὴν τοῦ δήμου καταχειροτο-
νίαν, ἣν ἐν Διονύσου κατεχειροτόνησε Μειδίου. ταῦτα 53
μὲν οὖν μοι δοκῶ καὶ τἆλλα τὰ τούτοις ὅμοια ὑπερβή-
σεσθαι, οὐ προδιδοὺς ὑμᾶς οὐδὲ τὸν ἀγῶνα καταχαριζό-
μενος, ἀλλ' ἐκεῖνο φοβούμενος, μή μοι παρ' ὑμῶν ἀπαν-
τήσῃ τὸ δοκεῖν ἀληθῆ μὲν λέγειν, ἀρχαῖα δὲ καὶ λίαν

1 αὐτῶν A. 3 καὶ ταῦτα ηδη C, ἢ ταῦτα ἤδη Reisk. 11 ἀληθῆ μὲν Cob., μὲν ἀληθῆ C.

§ 52. ἀπ' εἰσαγγελίας κρινομένου] Itemque coniunxit Hyperid. Euxenipp. col. 19: οὔτ' ἄλλοι πολλοὶ τῶν εἰσαγγελλομένων, ἀλλ' ἦν σπάνιον ἰδεῖν ἀπ' εἰσαγγελίας τινὰ κρινόμενον ὑπακούσαντα εἰς τὸ δικαστήριον. Paulo diversa est § 79. 171. Cf. Frohberg. Lys. 31, 3 App.

καὶ ταῦτ' ἤδη] = atque adeo, iam vero illud, quibus particulis narratio ad maiora et graviora eiusdem generis progreditur, cf. Hartung Part. I 242 sq.

τὰ περὶ Μειδίαν] Conferendus de hac re Boeckh über die Zeitverhältnisse der Demosthenischen Rede gegen Midias in Actis Acad. Reg. Bor. 1818/19, unde patebit hanc Aeschinis criminationem (ἀπέδοτο τριάκοντα μνῶν κτλ.) haud inprobabilem esse. Quamquam enim contra leges erat conponere causam ad magistratum delatam, tamen id interdum fiebat nec poena conpositioni constituta inponebatur (?). Midiae autem eo tempore potentiae et opes tantae erant, ut metuendum esset Demostheni nondum auctoritate pollenti, ne causa caderet (?). Hinc non alienus erat a lite conponenda. Atticae vero levitati tantum concessit (?), ut triginta minas ab adversario acciperet, ne re gratis omissa omnium esset ludibrio (?). Bremi. Maxime Eubuli potentia, cuius factionis erat Midias, Demosthenem conmotum litem conposuisse arbitratur Westermann Dem. Lit. 26, cf. Schaefer II 101 sq. 111. Equidem a me inpetrare non possum quin aliquam maculam ex hoc negotio in Demosthene haerere statuam, cf. Mid. 103: ἐφ' ᾗ γὰρ ἐκεῖνος ἠτίμωκεν αὑτὸν οὐκ ἐπεξελθών, οὐδεμιᾶς ἔγωγ' ἔτι προσδέομαι δίκης ἀλλ' ἱκανὴν ἔχω. Idemque Midiae gloriari licebat.

καταχειροτονίαν] i. e. προβολήν, querelam, Demosthenes ad populum detulerat in theatrum Bacchi a prytanibus convocatum, Midiam contra hunc deum eiusque sacra inpium fuisse. Hoc praeiudicio a populo facto res ad legitimum iudicium ventura erat, cf. Schoem. Com. II c. 5. Schaefer II 91.

§ 53. δοκῶ ὑπερβήσεσθαι] Plato Phaedr. 228c: ἐμοὶ ὡς ἀληθῶς πολὺ κράτιστόν ἐστιν οὕτως ὅπως δύναμαι λέγειν· ὥς μοι δοκεῖς σὺ οὐδαμῶς με ἀφήσειν πρὶν ἂν εἴπω ἁμῶς γέ πως.

τὸν ἀγῶνα καταχαριζόμενος] = in gratiam alicuius contra ius fasque aliquid deserere, prodere.

ὁμολογούμενα. καίτοι, ὦ Κτησιφῶν, ὅπου τὰ μέγιστα τῶν αἰσχρῶν οὕτως ἐστὶ πιστὰ καὶ γνώριμα τοῖς ἀκούουσιν, ὥστε τὸν κατήγορον μὴ δοκεῖν ψευδῆ λέγειν ἀλλὰ παλαιὰ καὶ λίαν προωμολογημένα, πότερ' αὐτὸν δεῖ χρυσῷ στεφάνῳ στεφανωθῆναι ἢ ἐκβεβλῆσθαι; καὶ σὲ τὸν τὰ παράνομα τολμῶντα γράφειν πότερα χρὴ καταφρονεῖν τῶν δικαστηρίων ἢ δίκην τῇ πόλει διδόναι;

54 Περὶ δὲ τῶν δημοσίων ἀδικημάτων πειράσομαι σαφέστερον εἰπεῖν. καὶ γὰρ πυνθάνομαι μέλλειν Δημοσθένην, ἐπειδὰν αὐτοῖς ὁ λόγος ἀποδοθῇ, καταριθμεῖσθαι πρὸς ὑμᾶς ὡς ἄρα τῇ πόλει τέτταρες ἤδη γεγένηνται καιροὶ ἐν οἷς αὐτὸς πεπολίτευται. ὧν ἕνα μὲν καὶ πάν-

1 ὅπου W, ὅτῳ C, ὅτου vel ἐν ὅτῳ Scheibe. 2 οὕτως *om.* A. 3 ὥστε ek, ὡς Bl. 4 πότερον ehl, cf. Cob. Mnem. VII 275. 5 ἐκβεβλῆσθαι W, ψέγεσθαι C. τὰ παράνομα W, παράνομα καὶ ψευδῆ Ag, ψευδῆ καὶ παράνομα B. 7 δοῦναι A. 8 δὲ *om.* l. 12 πολιτεύεται l. πρῶτον ἁπάντων an, *om.*

*ὁμολογούμενα*] = Quamquam antiqua, omnium tamen memoria et ore etiamnunc celebrata. Optime Schol.: *οὐδὲ ὁ χρόνος τὴν μνήμην αὐτῶν ἠδυνήθη ἀφελέσθαι· ὀφείλει γὰρ τὰ ἀρχαῖα λήθην παθεῖν ὑπὸ τῆς παλαιότητος τοῦ χρόνου.*

*ἢ ἐκβεβλῆσθαι*] Codicum lectio (*ψέγεσθαι*) cum languidior videretur quam quae ab ipso oratore proficisceretur, emendavit iam Dobreus vel *ἀτιμοῦσθαι* vel *ὑπερορίζεσθαι* vel *δίκην δοῦναι*, Sauppius *ἀπολέσθαι*, cf. 131: *πότερα στεφανοῦσθαί σε δεῖ ἐπὶ ταῖς τῆς πόλεως ἀτυχίαις ἢ ὑπερωρίσθαι;* Atque omnium primum in hac dicendi forma requiritur infinitivi perfecta actio, cf. Plato Phaedr. 62a: *οἷς βέλτιον τεθνάναι ἢ ζῆν.* Quem ad modum autem vel *ἠτιμῶσθαι* (cf. Cobet N. L. 751) vel *ὑπερωρίσθαι* nimium a tradita scriptura recedit ita proxime abest *ἐκβεβλῆσθαι*, qua forma haud raro utitur Isocrates.

*τὰ παράνομα*] Articulo carere non possumus, cuius explicandi causa veteres grammatici adscripserunt *καὶ ψευδῆ*, quasi vero hoc non in illo contineretur. Est autem: qui rogaveris haec tam falsa et fallentia quae modo breviter attigi, cf. 192.

§ 54. 54—57: *Rerum politicarum Demosthenis partitio.* Et hanc quoque partitionem ex consilio et ingenio Demosthenis manare subicit Aeschines, qua de arte praeclarissime iudicavit Schol.: *χαριέντως ὁ Αἰσχίνης, ὅτι διαιρῶν τὴν κατηγορίαν εἰς τοὺς τέσσαρας καιροὺς οὐχ ὡς αὐτὸς ταύτην ποιούμενος τὴν διαίρεσιν τῆς κατηγορίας ποιεῖται τὸν λόγον, ἀλλ' ὡς αὐτοῦ Δημοσθένους χρωμένου ταύτῃ τῇ τῶν καιρῶν διαιρέσει, ἵνα ὁ λόγος αὐτῷ ἀνεπίφθονος γένηται.*

*αὐτοῖς*] Ac primum quidem Ctesiphonti, quem ab iudicibus inpetraturum ut Demostheni suam causam agere liceret, nihil Aeschines dubitabat, cf. 257. I 119. 132: *ἀναβήσεται δ' ἐν τῇ ἀπολογίᾳ καὶ τῶν στρατηγῶν τις, ὡς ἀκούω.* 2, 184: *παρακαλῶ δ' Εὔβουλον μὲν ἐκ τῶν πολιτικῶν καὶ σωφρόνων ἀνδρῶν συνήγορον, Φωκίωνα δ' ἐκ τῶν στρατηγῶν.*

*αὐτός*] Bremius ludibrii causa additum putavit, quasi vero ipse hominem scilicet unicum decla-

των πρῶτον, ὡς ἔγωγε ἀκούω, καταλογίζεται ἐκεῖνον τὸν χρόνον ἐν ᾧ πρὸς Φίλιππον ὑπὲρ Ἀμφιπόλεως ἐπολεμοῦμεν· τοῦτον δ' ἀφορίζεται τῇ γενομένῃ εἰρήνῃ καὶ συμμαχίᾳ, ἣν Φιλοκράτης ὁ Ἁγνούσιος ἔγραψε καὶ αὐτὸς οὗτος μετ' ἐκείνου, ὡς ἐγὼ δείξω. 55 δεύτερον δέ φησι γενέσθαι ὃν ἤγομεν χρόνον τὴν εἰρήνην, δῆλον ὅτι μέχρι τῆς ἡμέρας ἐκείνης ἐν ᾗ καταλύσας τὴν ὑπάρχουσαν εἰρήνην τῇ πόλει ὁ αὐτὸς οὗτος ῥήτωρ ἔγραψε τὸν πόλεμον· τρίτον δὲ ὃν ἐπολεμοῦμεν χρόνον μέχρι τῆς ἀτυχίας τῆς ἐν Χαιρωνείᾳ, τέταρτον δὲ τὸν νῦν παρόντα καιρόν. ταῦτα δὲ καταριθμησάμενος, ὡς ἀκούω, μέλλει με παρακαλεῖν καὶ ἐπερωτᾶν, ὁποίου τούτων τῶν τεττάρων αὐτοῦ καιρῶν κατηγορῶ καὶ πότε αὐτὸν οὐ τὰ βέλτιστά φημι τῷ δήμῳ πεπολιτεῦσθαι· κἂν μὴ θέλω ἀποκρίνασθαι ἀλλ'

genetivum gm Tur. cf. I 40. 1 καταλογίζεται . . ἀκούω (11) *om.* n[1]. 3 ἀφορίζεται A (Tur.), ἀφ. τὸν χρόνον B. 5 οὕτω el. ἐκεῖνον l. φησι gm Tur., φησὶ καιρὸν ae, καιρόν φησι kl. 8 οὗτος post ῥήτωρ m. 10 τῆς ἐν B, τῶν ἐν A. 11 μέλλειν gmn. με *om.* A. 12 καλεῖν e. ὁποίου . . κατηγορῶ *om.* A.

raret. Sed pronomen nec abesse poterat nec quicquam aliud significat nisi quod recta oratione dicatur: ἐν οἷς ἐγὼ πεπολίτευμαι, cf. Dem. 18, 18: τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δι' ἐμέ, οὐ γὰρ δὴ ἔγωγε ἐπολιτευόμην πω τότε; cf. § 55.

ἕνα μὲν] Ol. 105, 3 — Ol. 108, 2 vel 357—346 a. Chr. n.

ἀφορίζεται] Schol.: ἀντὶ τοῦ μέχρι τῆς γενομένης εἰρήνης, συλλαμβάνων καὶ αὐτὴν τὴν εἰρήνην.

§ 55. δεύτερον καιρόν] Ol. 108, 2—110, 1 vel 346—340, cf. A. Schaefer Dem. II 471.

ἤγομεν τὴν εἰρήνην] Haec dictio in eum cadit, cuius in arbitrio et optione pax aut bellum sit, contraque εἰρήνην ἔχειν in eum, cui tamquam pax et tranquillitas ab hoste concedatur. Quare illud etiam pacis studium persaepe indicat = pacem conservare, cf. Isocr. 8, 25: ἡγοῦμαι δὲ δεῖν ἡμᾶς οὐ μόνον ψηφισαμένους τὴν εἰρήνην ἐκ τῆς ἐκκλησίας ἀπελθεῖν ἀλλὰ καὶ βουλευσαμένους, ὅπως ἄξομεν αὐτὴν καὶ μὴ ποιήσομεν, ὅπερ εἰώθαμεν, ὀλίγον χρόνον διαλιπόντες πάλιν εἰς τὰς αὐτὰς καταστησόμεθα ταραχάς. Hoc iudicium plurimum etiam valet ad turbulentam Demosthenis actionem. Ceterum de illa dictione cf. exempla apud Benseler Areop. p. 92 sq.

τρίτον δὲ] Ol. 110, 1 — 110, 3 vel 340—338, VII Metag. vel II Aug. (Sept.?), cf. A. Schaefer III 5 sq.

τέταρτον δὲ] Ol. 110, 3 — 112, 3 = 338 — 330 a. Chr.

τεττάρων αὐτοῦ καιρῶν] Idem pronominis hyperbaton Lys. 4, 20: οἱ φίλοι περὶ πάντων ἡμᾶς τούτων συνήλλαξαν. 24, 21: πρὸς ἓν ἕκαστον ὑμῖν τῶν εἰρημένων ἐνοχλεῖν.

μὴ θέλω] Ex ingenti numero exemplorum Benseler Areop. 257—262 hoc effecit, ἐθέλειν semper in usu fuisse oratorum consonante antecedente, interdum

ἐγκαλύπτωμαι καὶ ἀποδιδράσκω, ἐκκαλύψειν μέ φησι προσελθὼν καὶ ἕλξειν ἐπὶ τὸ βῆμα καὶ ἀναγκάσειν ἀπο-
56 κρίνασθαι. ἵν' οὖν μήθ' οὗτος ἰσχυρίζηται ὑμεῖς τε προειδῆτε, ἐγώ τοι ἀποκρίνομαι ἐναντίον σοι τῶν δικαστῶν, Δημόσθενες, καὶ τῶν πολιτῶν, ὅσοι γε ἔξωθεν περιεστᾶσι, καὶ τῶν Ἑλλήνων, ὅσοις ἐπιμελὲς γέγονεν ἐπακούειν τῆσδε τῆς κρίσεως· ὁρῶ δὲ οὐκ ὀλίγους παρόντας, ἀλλ' ὅσους οὐδεὶς πώποτε μέμνηται πρὸς ἀγῶνα δημόσιον παραγενομένους· ἀποκρίνομαι δή, ὅτι ἁπάντων

1 ἐγκαλύπτομαι kh, ἐγκαλύπτεσθαι l. ἐκκαλύψει el. 2 fort. προελθών. ἕλξειν Cob., αὔξειν l, ἄξειν x. ἀναγκάζειν A. 4 ἐγώ τοι W, ἐγώ τε C, ἐγὼ δὴ Taylor. ἀποκρίνωμαι C, *em.* M. 5 τῶν πολιτῶν W, τῶν πολ. καὶ τῶν ἄλλων A, τῶν ἄλλων πολιτῶν B. γε W, *om.* A, δε (τε) gm, τε n, δὲ a, vulg. δή. ἔξω kl. 7 ἐπακούειν Markl. Cob., ὑπακούειν C. 8 ποτε A. 9 ἀποκρινοῦμαι Bk, ἀποκρινῶμαι el, *em.* H. δὴ *add.* W.

tamen etiam vocali antecedente, quamquam tum quidem saepius θέλειν legatur.

ἐγκαλύπτωμαι] Capite obvoluto faciem Graeci obtegebant vel ut cogitationi penitus se dederent vel ut maerori indulgerent vel ut pudorem occultarent vel ut timorem subterfugerent et terrorem, cf. Horat. Sat. II 3, 37: nam male re gesta cum vellem mittere operto me capite in flumen, dexter stetit et „cave faxis te quicquam indignum".

§ 56. ἰσχυρίζηται] scil. τούτοις, cf. Isocr. Trapez. 24: ἡγοῦμαι δὲ Πασίωνα ἐκ τοῦ διεφθαρμένου γραμματείου τὴν ἀπολογίαν ποιήσεσθαι καὶ τούτοις ἰσχυριεῖσθαι μάλιστα. Simul hoc verbum vel superbiam adversarii et inportunitatem vel nimiam quandam confidentiam denotare videtur, cf. Thuc. 7, 49: ὁ μὲν Νικίας τοσαῦτα λέγων ἰσχυρίζετο, αἰσθόμενος τὰ ἐν Συρακούσαις ἀκριβῶς.

ἐγώ τοι ἀποκρίνομαι — ἀποκρίνομαι δή] Cum ad superiora redeunt Graeci, post parenthesin vel idem verbum vel simile aliquod repetere solent adiectis particulis aut δή aut γάρ aut οὖν, cf. Plato Apol. 21a: καὶ δή ποτε καὶ εἰς Δελφοὺς ἐλθὼν ἐτόλμησε τοῦτο μαντεύσασθαι — καὶ ὅπερ λέγω μὴ θορυβεῖτε ὦ ἄνδρες — ἤρετο γὰρ δή, εἴ τις ἐμοῦ εἴη σοφώτερος.

τῶν πολιτῶν] Certe iudices etiam in civium numero habentur, at articulo adiecto, cui subicitur enuntiatio relativa, reliquum civium genus ab iudicibus diversum satis definitur. Quod cum grammatici veteres parum perspexissent, emendandum sibi esse putarunt: καὶ τῶν ἄλλων πολιτῶν, qua coniectura, cum subsequatur τῶν Ἑλλήνων, concinnitas et aequabilitas totius sententiae evertitur.

ἐπακούειν] Verbum ὑπακούειν ministrorum vel ianitorum proprium ab hac sententia prorsus alienum est, cf. Stallb. Crito 43a. Phaed. 59e. At ἐπακούειν cadit in eos qui circumstantes oratorem exaudiant, cf. Cobet Nov. Lectt. 521.

οὐκ ὀλίγους] Cicero de opt. gen. dic. 22 sic vertit: ad quod iudicium concursus dicitur e tota Graecia factus esse. Quid enim tam aut visendum aut audiendum fuit quam summorum oratorum in gravissuma causa accurata et inimicitiis incensa contentio? Cf. Cic. Brut. § 289. Dem. 18, 196.

τῶν τεττάρων καιρῶν κατηγορῶ σου, οὓς σὺ διαιρεῖ, κἂν 57 οἵ τε θεοὶ θέλωσι καὶ οἱ δικασταὶ ἐξ ἴσου ἡμῶν ἀκούωσι κἀγὼ δύνωμαι ἀπομνημονεῦσαι ἃ σοι σύνοιδα, πάνυ προσδοκῶ ἐπιδείξειν τοῖς δικασταῖς τῆς μὲν σωτηρίας τῇ πόλει τοὺς θεοὺς αἰτίους γεγενημένους καὶ τοὺς φιλανθρώπως καὶ μετρίως τοῖς τῆς πόλεως πράγμασι χρησαμένους, τῶν δὲ ἀτυχημάτων ἁπάντων Δημοσθένην. καὶ χρήσομαι τῇ τάξει ταύτῃ, ᾗ τοῦτον πυνθάνομαι μέλλειν, λέξω δὲ πρῶτον περὶ τοῦ πρώτου καιροῦ καὶ δεύτερον περὶ τοῦ δευτέρου καὶ τρίτον περὶ τοῦ ἐφεξῆς καὶ τέταρτον περὶ τῶν νυνὶ καθεστηκότων πραγμάτων. καὶ δὴ

1 διαιρῇ A, διαιρεῖς B, cf. II 121. 2 ἀκούωσι Ham., ἀκούσωσι C. 3 δύναμαι a. σοι *om.* B. 4 ἐπιγράψειν gmn, ἀποδείξειν M. 5 τοὺς δὲ l. καὶ τοὺς] τῇ πόλει e, nondum persanatum est. 7 ἁπάντων *om.* am¹nh¹. δημοσθένη e, *add.* A: γεγενημένον αἴτιον, B αἴτιον γεγ., *emend.* Taylor. 8 τῇ τάξει W, τῇ τάξει τοῦ λόγου A, τῇ τοῦ λόγου τάξει B. ᾗ A, ἣν B. μέλλειν W, μέλλ. ποιεῖσθαι A, ποιεῖσθ. μέλλ. B. 9 λέγω A. δὴ el. 11 νῦν B. καὶ ἤδη A.

§ 57. ἐξ ἴσου] Tamquam *κοινοὶ ἀκροαταί*, i. e. sine ira et studio. Dem. 29, 4: *δέομαι ὑμῶν δικαίαν δέησιν, ἐξ ἴσου ἡμῶν ἀμφοτέρων ἀκοῦσαι.* Cf. Frohberg. Lys. 15, 1. 19, 3. *ἐξ ἴσου* autem audire cum aequitatis est tum iureiurando iudices obligati sunt, cf. Dem. 18, 2: *τὸν ὅρκον, ἐν ᾧ πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις καὶ τοῦτο γέγραπται, τὸ ὁμοίως ἀμφοῖν ἀκροάσεσθαι*; Aesch. 2, 1: *πρὸς ἄνδρας ὀμωμοκότας ὁμοίως ἀμφοτέρων ἀκούσεσθαι.* Hoc autem iureiurando non ad unam quamque causam sed quotannis iudices electos adactos esse docet Isocr. Antid. 21: *παρ᾽ ὑμῖν δὲ ὀμνύναι καθ᾽ ἕκαστον ἐνιαυτὸν ἦ μὴν ὁμοίως ἀκροάσεσθαι τῶν κατηγορούντων καὶ τῶν ἀπολογουμένων.* Inde nata est haec dictio: *τῶν ἴσων τυγχάνειν.*

ἀκούωσι] Falsum profecto est futurum exactum *ἀκούσωσι.* Nec enim si audiverint, tum se illud quod sibi proposuerit demonstraturum sperat, sed si benevolas sibi aures per hanc totam causam praebeant, illud se consecuturum confidit.

δύνωμαι ἀπομνημονεῦσαι] Non sine artificio et fraude hoc subicit: criminum magnitudinem Demosthenis tam incredibilem esse, ut nemo facile ea aut memoria tenere aut voce eloqui possit, cf. § 260.

τοὺς θεούς] Cf. Dem. 18, 212.

τοὺς φιλανθρώπως] Ex hoc adverbio patet Aeschinem non suam suorumque amicorum civilem rationem laudare, sed ambigue vel tecte praedicare et Philippi et Alexandri erga Athenienses clementiam et humanitatem, cf. Dem. 18, 231. Polyb. 5, 10: *Φίλιππος νικήσας τοὺς Ἀθηναίους οὐ τοσοῦτον ἤνυσε διὰ τῶν ὅπλων ὅσον διὰ τῆς ἐπιεικείας καὶ φιλανθρωπίας τῶν τρόπων.* A. Schaefer III 24. 215.

Δημοσθένην] Ut invidiam augeret omnemque dubitationem eximeret, tamquam ictu et telo prostraturus, Demosthenem nominatim posuit in extrema sententia. Eaque vis intenditur verborum ordinis conversione (= chi-

*ἐπανάγω ἐμαυτὸν ἐπὶ τὴν εἰρήνην, ἣν σὺ καὶ Φιλοκράτης ἐγράψατε.*

58 *Ὑμῖν γὰρ ἐξεγένετ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν προτέραν εἰρήνην ποιήσασθαι μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων, εἴ τινες ὑμᾶς εἴασαν περιμεῖναι τὰς πρεσβείας, ἃς ἦτε ἐκπεπομφότες κατ' ἐκεῖνον τὸν καιρὸν εἰς τὴν Ἑλλάδα, παρακαλοῦντες ἐπὶ Φίλιππον, καὶ προϊόντος τοῦ χρόνου παρ' ἑκόντων τῶν Ἑλλήνων ἀπολαβεῖν τὴν ἡγεμονίαν· καὶ τούτων ἀπεστερήθητε διὰ Δημοσθένην καὶ Φιλοκράτην καὶ τὰς τούτων δωροδοκίας, ἃς ἐδωροδόκησαν συστάντες ἐπὶ τὸ δημόσιον τὸ ὑμέτερον.*
59 *εἰ δέ τισιν ὑμῶν ἐξαίφνης ἀκούσασιν ἀπιστότερος προσπέπτωκεν ὁ*

1 *ἐπανάγων* l. 3 *γὰρ*] *δὲ* n. *προτέραν* A, *προτ. ἐκείνην* B. 5 *οἵ τινες ἡμᾶς* kl. 7 post *Φίλιππον* *add.* C: *μετασχεῖν Ἑλληνικοῦ συνεδρίου*, del. W Ham. 9 *ταύτην* n. *φιλ. κ. δημ.* el, fort. *καὶ φιλοκρ.* delendum. 10 *ἐδωροδόκουν* e, nescio an recte. 12 *ἐξαίφ. ὑμῶν* e. *ἄπιστος* A.

asmo): *τοὺς θεοὺς — Δημοσθένην*. De sententia ipsa cf. ad § 134.

§ 58. § 58 — 83: De pace Philocratea.

*τὴν προτέραν*] Nam post Chaeronensem pugnam alteram cum Philippo Athenienses fecerant pacem.

*μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων*] = conventu et concilio omnium Graeciae civitatum. Nam ceteros Graecos aut sub excidium Olynthi (348) aut paulo postea Eubulus ad belli societatem perlici plebiscito iusserat atque Aeschines ipse legationem ea causa susceperat, cf. Dem. 19, 10: *ἔστι τοίνυν οὗτος ὁ πείσας ὑμᾶς πανταχοῖ πρέσβεις πέμψαι τοὺς συνάξοντας δεῦρο τοὺς βουλευσομένους περὶ τοῦ πρὸς Φίλιππον πολέμου, καὶ ἀπαγγέλλων μετὰ ταῦθ' ἥκων ἐξ Ἀρκαδίας τοὺς καλοὺς ἐκείνους καὶ μακροὺς λόγους κτλ.* Unde verisimile est Aeschinem Atheniensibus spem fecisse, ut alteram si dimitterent legationem facile Graecorum legatos Athenas ad commune concilium conventuros. Atque venisse postea nonnullos Graecorum legatos patet ex Dem. 19, 16: *καὶ τοῦθ' ὁ σχέτλιος καὶ ἀναιδὴς οὗτος ἐτόλμα λέγειν ἐφεστηκότων τῶν πρέσβεων καὶ ἀκουόντων, οὓς ἀπὸ τῶν Ἑλλήνων μετεπέμψασθε ὑπὸ τούτου πεισθέντες, ὅτ' οὔπω πεπρακὼς αὑτὸν ἦν*, cf. Aesch. 2, 57—59. Sed sive Graecorum aliquot legati Athenas iam convenerant sive Demosthenes pro sua audacia et inpudentia merum mendacium struxit, illud utique ex Aesch. II 59 evincitur ab Atheniensibus alteram legationem in Graecorum civitates dimissam fuisse, quo in numero Aeschines ipse non fuerit. Ac similiter statuit Boehnecke Forsch. I 199. 378 sq. 733, contraque disputavit A. Schaefer II 200.

*περιμεῖναι*] hoc est: in condicione aliqua perseverare atque opperiri, dum quod optemus tandem fiat; at contra *ἐπιμένειν* significat: eventum alicuius rei patienter exspectare, cf. Stallbaum Plat. Phaedo 59 e.

*παρακαλοῦντες ἐπὶ Φίλιππον*] Cf. 64. 68 et audacissimum illud mendacium Demosthenis 18, 24.

§ 59. *ἀπιστότερος*] Aeschines demonstraturus est Demosthe-

τοιοῦτος λόγος, ἐκείνως τὴν ὑπόλοιπον ποιήσασθε ἀκρόασιν, ὥσπερ ὅταν περὶ χρημάτων ἀνηλωμένων διὰ πολλοῦ χρόνου καθεζώμεθα. ἐρχόμεθα δή που ψευδεῖς οἴκοθεν δόξας ἔχοντες, ἀλλ' ὅμως ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ, οὐδεὶς ἡμῶν ἐστιν οὕτω δύσκολος τὴν φύσιν, ὅστις οὐκ ἀπέρχεται τοῦθ' ὁμολογήσας ἀληθὲς εἶναι, ὅ τι ἂν ὁ λογισμὸς αἱρῇ. οὕτω νῦν τὴν ἀκρόασιν ποιήσασθε. εἴ τινες ὑμῶν ἐκ τῶν ἔμπροσθεν χρόνων ἥκουσιν οἴκοθεν τοιαύτην ἔχοντες τὴν δόξαν, ὡς ἄρα ὁ Δημοσθένης οὐδὲν

1 ποιήσασθαι ae. 3 καθεζόμεθα kl, deinceps *add.* C: ἐπὶ τοὺς λογισμούς, del. Dobree. ψευδ. οἴκ. W, ἐνίοτε ψευδ. οἴκ. A, ψευδ. οἴκ. ἐνίοτε B. 4 post ἔχοντες *add.* C: κατὰ τῶν λογισμῶν (τὸν λογισμὸν A), del. W. 5 ἡμῶν Steph., ὑμῶν C, post ἐστὶν ponit A. 6 ὁμολογ. καὶ ἐπινεύσας B. ὅτι ἂν A, ὅτι ἂν αὐτὸς B. 7 νῦν e, *om.* kl, καὶ νῦν B. ποιήσασθαι (ε supra) e.

nem omnium maxime aliquando egisse ut pax cum Philippo et foedus vel antea fieret quam Graecorum legati undique Athenas convenissent. Hoc vero Atheniensibus tum, cum causa ista agebatur, facile videbatur vix credibile. Nam vixdum pace conposita omnem suam operam studiumque eo contulerat ut et legatos contumeliis obrueret, quos multum ad pacem aliquando conponendam valuisse sciret, et Philippo fraudem insidiasque obiectaret et pacem ipsam tamquam indignam nobilissimo ac principe Graecorum populo perverteret. Quare cum et Philippo maxime infensus et pacis indignitate exacerbatus et quicumque arma contra Macedonas moverent eorum semper dux auctor actor signifer videretur, quid tandem mirum, si sedecim annis post illum ipsum Demosthenem pacis auctorem fuisse vix quisquam iudicum crederet? Quare ut fidem et aditum ad aures eorum qui audirent sibi patefaceret, similitudine et exemplo Aeschines usus est (§ 59—61). Idque παράδειγμα et simplex et verum et perspicuum est. At quanta malitia Demosthenes 18, 227 sq. hanc Aeschinis sententiam et rationem inmutavit et pervertit! Cf. L. Spengel, Verth. Ktesiph. 57—58. Ista videlicet est ἡ βία καὶ δεινότης, quam mirabatur Marcellinus Rhet. Gr. IV 512. De figura quam dicunt προδιόρθωσιν vel προθεραπείαν vel προμάλαξιν cf. Quintil. IV 3, 10. Aquila § 1. Schol.: ἐπειδὴ γὰρ ὑπόληψιν ἔχουσιν οἱ πολλοὶ περὶ Δημοσθένους ὡς εὐνοϊκῶς πεπολίτευται, εἰκότως προδιορθοῦται, ἵνα εὐπαράδεκτος αὐτοῦ ὁ ἐναντίος λόγος γένηται.

περὶ χρημάτων ἀνηλωμένων καθεζώμεθα] Thuc. V 55: οὐκ ἔφη τοὺς λόγους τοῖς ἔργοις ὁμολογεῖν· σφεῖς μὲν γὰρ περὶ εἰρήνης ξυγκαθῆσθαι, τοὺς δ' Ἐπιδαυρίους . . μεθ' ὅπλων ἀντιτετάχθαι. Dem. 58, 25: οὐ γὰρ δίκαιον τοὺς ὑπὲρ τῶν νόμων καθημένους μακροῖς λόγοις καὶ κατηγορίαις προσέχειν. Stallb. ad Plat. Theaetet. 172e: οἱ δὲ λόγοι ἀεὶ περὶ ὁμοδούλου πρὸς δεσπότην καθήμενον, ἐν χειρὶ τὴν δίκην ἔχοντα, ubi ὁμόδουλος vocatur reus, sed δεσπ. καθ. est iudex qui sollemniter sedet. Dobreus.

αἱρῇ] Horat. Sat. II 3, 250: si ratio evincet puerile esse amare. Bremi.

*πώποτε εἴρηκεν ὑπὲρ Φιλίππου συστὰς μετὰ Φιλοκράτους, — ὅστις οὕτω διάκειται, μήτ' ἀπογνώτω μηδὲν μήτε καταγνώτω, πρὶν ἂν ἀκούσῃ· οὐ γὰρ δίκαιον. ἀλλ' ἐὰν ἐμοῦ διὰ βραχέων ἀκούσητε ὑπομιμνήσκοντος τοὺς καιροὺς καὶ τὰ ψηφίσματα παρεχομένου, ἃ μετὰ Φιλοκράτους γέγραφε Δημοσθένης, ἐὰν αὐτὸς ὁ τῆς ἀληθείας λογισμὸς ἐγκαταλάβῃ τὸν Δημοσθένην πλείω μὲν γεγραφότα ψηφίσματα Φιλοκράτους περὶ τῆς ἐξ ἀρχῆς εἰρήνης*
61 *καὶ συμμαχίας, καθ' ὑπερβολὴν δὲ αἰσχύνης κεκολακευκότα Φίλιππον καὶ τοὺς πρέσβεις, αἴτιον δὲ γεγονότα τῷ*

2 *διάκειται πρὸς αὐτὸν* k. 3 *ἂν* *add.* Dobr. Reisig. *ἀκούσῃ* e, *ἀκούσοι* kl, *ἀκούσει* B. 4 *ὅταν* Ham. 5 *τὰ ψηφίσματα . . ἃ . . γέγραφε* A, *τὸ ψήφισμα . . ὃ . . ἔγραψε* B. 6 *ὁ αὐτὸς* A. 7 *ἐγκαταλάβῃ* Ham., *ἐγκαταλαμβάνῃ* C, *καταλαμβάνῃ* Franke. *δημοσθένη* e. 8 *μετὰ φιλοκρ.* gh. 10 *καὶ τοὺς πρέσβεις* W, *καὶ τοὺς παρ' ἐκείνου πρέσβεις* H. Wolf, *καὶ οὐκ ἀναμεί- ναντα τοὺς πρέσβεις* A, *καὶ τοὺς παρ' ἐκείνου πρ. οὐ παραμ.* a, *κ. τ. παρ' ἐκεῖνον πρ. οὐκ ἀναμ.* n, *καὶ τοὺς παρ' ἐκείνου πρ. οὐκ ἀναμ.* x.

§ 60. *ὅστις διάκειται*] Cogitari hoc loco non potest *ὅστις ἂν* c. Conj., quia reapse qui ita sentirent non pauci aderant. Quare dicit: qui vestrum ita sentit; illud esset: si quis vestrum ita sentiat, vel: ut aliquis vestrum ita sentiat.

*μήτ' ἀπογνώτω μηδὲν*] Hoc adverbialiter ad augendam enuntiationis vim negativam adpositum est. Iudicandi autem verba cum *ἀπὸ* conposita significationem habent a b s o l v e n d i, cum *κατὰ* consociata c o n d e m n a n d i. Pollux 8, 9 conmemoravit: *καταδικάσαι ἀποδικάσαι, καταψηφίσασθαι ἀποψηφίσασθαι, καταγνῶναι ἀπογνῶναι, κατάγνωσις ἀπόγνωσις, καταδίκη ἄφεσις.*

*πρὶν ἂν ἀκούσῃ*] Reisigius Coniectanea in Aristoph. 66 monuit hanc locutionem *μὴ δικάσῃς πρὶν ἂν ἀκούσῃς* quasi in proverbium abiisse nec usquam particulam *ἂν* deesse.

*γέγραφε*] Non modo veterum rerum mentionem facit Aeschines sed earum quae etiamnunc tabulis publicis servatae tamquam oculis mentibusque iudicum subiectae sint. Quare perfectum mihi anteponendum videtur aoristo. Ceterum cf. Stallb. Plat. Phaed. 62 c.

*ἐὰν — ἐὰν*] Enuntiatio haec altera superiori quodam modo subiecta est = nam temporibus ac plebiscitis expositis si veritas ipsa Demosthenem coarguet etc. Quam sententiarum rationem etiam Latinis sic conformare licet: s i tempora illa exposuero, s i veritas ipsa coarguet; cf. Cicero p. Sest. § 45, ubi item priore si ponitur universae condicionis descriptio, deinde pars vel species, cf. Madv. Cic. Fin. p. 332. Seyff. Lael. p. 256. Naeg. Stil. 423.

§ 61. *Φίλιππον καὶ τοὺς πρέσβεις*] In hac verborum coniunctione quodnam genus legatorum animo et mente informandum sit, facile credo intellegitur, etiamsi pronomen adiciatur nullum. Quae tamen lectio si in archetypo libro fuit, cur factum sit ut adscriberetur *οὐκ ἀναμείναντα* (i. e. *τοὺς πρέσβεις*) totumque membrum ad *αἴτιον δὲ γεγονότα κτλ.* revocaretur, nihil

*δήμῳ τοῦ μὴ μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων ποιήσασθαι τὴν εἰρήνην, ἔκδοτον δὲ πεποιηκότα Κερσοβλέπτην τὸν Θρᾴκης βασιλέα, ἄνδρα φίλον καὶ σύμμαχον τῇ πόλει, — ἐὰν ταῦθ' ὑμῖν σαφῶς ἐπιδείξω, δεήσομαι ὑμῶν μετρίαν δέησιν· ἐπινεύσατέ μοι πρὸς θεῶν τὸν πρῶτον τῶν τεττάρων καιρῶν μὴ καλῶς αὐτὸν πεπολιτεῦσθαι. λέξω δὲ ὅθεν μάλιστα παρακολουθήσετε.*

*Ἔγραψε Φιλοκράτης ἐξεῖναι Φιλίππῳ δεῦρο κήρυκα* 62
*καὶ πρέσβεις πέμπειν περὶ εἰρήνης· τοῦτο τὸ ψήφισμα ἐγράφη παρανόμων. ἧκον οἱ τῆς κρίσεως χρόνοι· κατηγόρει μὲν Λυκῖνος [ὁ γραψάμενος], ἀπελογεῖτο δὲ Φιλο-*

1 *τοῦ om.* A. *τῶν Ἑλλ. om.* B. 2 *πεποιηκότα* W, *πεπ. φιλίππῳ* A, *φιλ. πεπ.* B. 4 *ἂν* e. *τοῦθ'* kl. 6 *πρῶτον* M, *ἕνα* C, vitium ex $\alpha^1$ ortum. 8 *κήρυκας* B 9 *εἰρήνης καὶ συμμαχίας* B, *em.* Tur. 11 *Λυκῖνος om.* ang[1]. *ὁ om.* A. *δὲ om.* B.

iam est quod pluribus edisseram.

*ἔκδοτον δὲ πεποιηκότα*] sc. Philippo, qui dativus peregrino dumtaxat homini, non item Attico auditori necessarius fuerit, cf. 73. 74.

§ 62. *ἔγραψε*] Cf. ad § 27.

*κήρυκα καὶ πρέσβεις*] Cf. II 13, ubi falso libri *κήρυκας* praebent. Atque hoc decretum paulo post Olynthum captam (348) Philocrates rogasse videtur, certe non ante captam illam civitatem, cf. A. Schaefer II 155. Nam vixdum Amphipoli a Philippo (357) capta Athenienses saevissimam rogationem tulerant, qua ille aut caduceatorem aut legatos Athenas mittere prohiberetur (cf. Aesch. II 13). Quae quonam odio scripta fuerit, facile coniectura assequi licet ex simili Atheniensium decreto quod conmemoravit Livius 31, 44.

*ἐγράφη παρανόμων*] Hoc quidem facile fieri poterat, quia Philocratis rogatione vetustum illud plebiscitum tollebatur. Nec vero accusaret quisquam Philocratem, nisi factio tum esset eorum qui odio iraque elati nunquam bellum Macedonicum conponi vellent. Eosque homines propriis potius conmodis quam rei publicae salute adductos adeo paci otioque repugnasse Aeschines arguit II 13.

*Λυκῖνος*] Cf. de hoc homine A. Schaefer I 155, 5. Beilagen p. 151, 1. Boeckh Seeurk. XVIb 219. c. 113, qui vocatur *Λυκῖνος Παλληνεύς*, contraque ibid. Xe 110 *Λυκῖνος Γαργήττιος* conmemoratur. Ex Aesch. II 14 videmus hoc: plures quidem contra Philocratis rogationem accusationem subornasse, unum tamen Lycinum accusatorem exstitisse. Lis erat aestimata centum talentis, quam poenam nemo solvere posset.

*ἀπελογεῖτο δὲ Φιλοκράτης*] Cf. II 14: *ἀρρώστως δ' ἔχων ὁ Φιλοκράτης ἐκάλεσεν αὐτῷ συνήγορον τὸν Δημοσθένην.* Haec minime mihi inter se pugnare videntur. Nam cum Philocrates valetudine laboraret, causam ille quidem dicebat, at paucis verbis factis extemplo ab iudicio inpetravit, ut Demosthenem advocare sibi liceret qui causam peroraret. Ex ipsis his verbis elucet Philocratem in iudicio et adfuisse et causam dixisse. Cf. Franke Prolegg. 26.

κράτης, συναπελογεῖτο δὲ Δημοσθένης· ἀπέφυγεν ὁ Φιλοκράτης. μετὰ ταῦτα ἐπῄει χρόνος Θεμιστοκλῆς ἄρχων· ἐνταῦθ' εἰσέρχεται βουλευτὴς εἰς τὸ βουλευτήριον Δημοσθένης, οὔτε λαχὼν οὔτ' ἐπιλαχών, ἀλλ' ἐκ παρασκευῆς πριάμενος, ἵν' εἰς ὑποδοχὴν ἅπαντα καὶ λέγοι καὶ πράτ-
63 τοι Φιλοκράτει, ὡς αὐτὸ ἔδειξε τὸ ἔργον. νικᾷ γὰρ ἑτε-

1 συναπελ. δὲ καὶ B, *om.* καὶ A. διέφυγεν A. ὁ *add.* A. 2 χρόνος Aa, ὁ χρόνος gmn. 5 ἀποδοχὴν e.

*ἐπῄει χρόνος Θεμιστοκλῆς ἄρχων*] = Ol. 108, 2 vel 347. Dictio autem mirabilis inlustratur his exemplis, Andoc. I 96 in lege quadam: *ἄρχει χρόνος τοῦδε τοῦ ψηφίσματος ἡ βουλὴ οἱ πεντακόσιοι οἱ λαχόντες τῷ κυάμῳ, ὅ τε Κλεογένης πρῶτος ἐγραμμάτευεν.* Thuc. IV 118: *καὶ ὡμολόγησαν ἐν τῷ δήμῳ τὴν ἐκεχειρίαν εἶναι ἐνιαυτόν· ἄρχειν δὲ τήνδε τὴν ἡμέραν, τετράδα ἐπὶ δέκα τοῦ Ἐλαφηβολιῶνος μηνός.* Ibid. V 19: *ἄρχει δὲ τῶν σπονδῶν ἔφορος Πλειστόλας, Ἀρτεμισίου μηνὸς τετάρτῃ φθίνοντος, ἐν δὲ Ἀθήναις ἄρχων Ἀλκαῖος, Ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος.* Atque ex Inscriptionibus haec exempla Boeckhius I 29 eruit: *ἄρχειν δὲ τὸν χρόνον τῶν σπονδῶν τοῦ Μεταγειτνιῶνος μηνὸς ἀπὸ ἀρχομηνίας, χρόνος ἄρχει τῆς μισθώσεως τοῦ Δημητρίου καρποῦ Εὔβουλος ἄρχων.* Cf. etiam Boeckh Inscr. I 877. Est igitur Aeschinis illa dictio sic explicanda: interea advenit tempus quod est Themistocles archon. Atque cum primum tempus indefinite describatur, deinde archontis nomine definiatur, *χρόνος* quin verius sit quam *ὁ χρόνος*, nemo certe est qui dubitet.

*εἰσέρχεται βουλευτής*] Eodemque anno in senatum intravit Timarchus, de quo Aeschines I 106 haec iactavit: *οὗτος γὰρ ταύτην τὴν ἡλικίαν ἔχων ἣν ὑμεῖς ὁρᾶτε, οὐκ ἔστιν ἥντινα πώποτ' οὐκ ἦρξεν ἀρχήν, οὐδεμίαν λαχὼν οὐδὲ χειροτονηθεὶς ἀλλὰ πάσας παρὰ τοὺς νόμους πριάμενος.* Quae opprobria an in Timarcho an in Demosthene valeant, disceptari non potest: tantum apparet, haud paucos tum his malis artibus munera publica petisse. Quod ni ita esset, quia risum et contemptum auditorum moveret, Aeschines certe huiuscemodi probra non effudisset, cf. § 3.

*ἐπιλαχών*] Harp. 81 ubi huius loci mentionem fecit, sic pergit: *ἔοικε τὸ γιγνόμενον τοιοῦτον εἶναι. ἐκληροῦντο οἱ βουλεύειν ἢ ἄρχειν ἐφιέμενοι, ἔπειτα ἑκάστῳ τῶν λαχόντων ἕτερος ἐπελάγχανεν, ἵν' ἐὰν ὁ πρῶτος λαχὼν ἀποδοκιμασθῇ ἢ τελευτήσῃ, ἀντ' ἐκείνου γένηται βουλευτὴς ὁ ἐπιλαχὼν αὐτῷ. ὑποφαίνεται δὲ ταῦτα ἐν τῷ Πλάτωνος Ὑπερβόλῳ.* Quocum consentit Etym. Gud. 361, 23.

*εἰς ὑποδοχήν*] Ut ubi Philocrates dicendi agendive finem faceret, succederet ei Demosthenes eiusque partes susciperet atque exsequeretur. Reiske, qui tamen *ἀποδοχὴν* restituere maluit codicibus aliquot conmendatum. Bremius haec adnotavit: *ὑποδέχεσθαι* et inde derivata (?) tropicam significationem opitulandi habent, cum saepe de hospitio et receptione dicantur eorum, quibus opus sit auxilio. Apud recentiores hic usus inprimis frequens est.

*καὶ λέγοι καὶ πράττοι*] Cf. ad § 49. Plato Protag. 318e: *ὅπως τὰ τῆς πόλεως δυνατώτατος ἂν εἴη καὶ πράττειν καὶ λέγειν.*

*ὡς ἔδειξε τὸ ἔργον*] Nec tamen, si Demosthenes et Philo-

ρον ψήφισμα ὁ Φιλοκράτης, ἐν ᾧ κελεύει ἑλέσθαι δέκα πρέσβεις, οἵτινες ἀφικόμενοι ὡς Φίλιππον ἀξιώσουσιν αὐτὸν δεῦρο πρέσβεις αὐτοκράτορας ἀποστέλλειν ὑπὲρ τῆς εἰρήνης. τούτων εἷς ἦν Δημοσθένης. κἀκεῖθεν ἐπανήκων ἐπαινέτης ἦν τῆς εἰρήνης, καὶ ταὐτὰ τοῖς ἄλλοις πρέσβεσιν ἀπήγγελλε, καὶ μόνος τῶν βουλευτῶν ἔγραψε

1 ὁ *add.* A. 2 ὡς A, πρὸς B. 3 ἀποστέλλειν A, πέμπειν B. 6 ἀπήγγελε en. τῶν A, τῶν ἄλλων B.

crates pacis faciendae potestatem voluerunt reip. conparatam, sequitur ilico, eandem fuisse de pacis condicionibus utriusque sententiam. At pacem tamen Demosthenem tum suasisse ex eo apparet, quod una cum Philocrate legationem obiit. Cf. Loefstedt I 23.

II 520 sqq. Thebanos non magis Demosthenis vi dicendi, quam periculi instantis magnitudine ad societatem coactos esse negari non potest. Nos vero hanc difficultatem disceptare non possumus, quia, quid consilii tum Philippus agitaverit, in obscuro est. Nam illud quidem ex eventu rerum apparet nec Philippum nec Alexandrum unquam in Atticam invadere clarissimamque urbem delere in animo habuisse. Ad altiora Philippus enitebatur: Thebanis in societatem adsumptis Athenienses ad pacem et concordiam et ad conmunionem belli Persici movere voluisse videtur.

§ 138. *Θρασύβουλος ὁ Κολλυτεύς*] A. Schaefer I 128—130. De reliquis viris ibid. 127.

*Λεωδάμας*] Cf. I 111. 69. Dem. 20, 146. Schaefer I 130. Vitae X oratt. 840b (de Aeschine): *ἀκροατὴς δὲ γενόμενος ὡς μέν τινες λέγουσιν Ἰσοκράτους καὶ Πλάτωνος, ὡς δὲ Καικίλιος Λεωδάμαντος*, qua de re cf. A. Schaefer I 230.

§ 139. *Ἀριστοφῶν*] A. Schaefer I 126. Dem. 18, 162: *οὐκ ἀπὸ τῆς ἐμαυτοῦ γνώμης μόνον ταῦτα συμφέρειν ὑπολαμβάνων, ἀλλ' εἰδὼς Ἀριστοφῶντα καὶ πάλιν Εὔβουλον πάντα τὸν χρόνον βουλομένους πρᾶξαι ταύτην τὴν φιλίαν* (i. e. *τὴν πρὸς Θηβαίους*), *καὶ περὶ τῶν ἄλλων πολλάκις ἀντιλέγοντας τοῦθ' ὁμογνωμονοῦντας ἀεί.*

*Πύρρανδρος*] Dignitatem et gravitatem huius viri habemus expressam I 84.

*τὸ δ' αἴτιον*] Schol.: *θέλει εἰπεῖν, ἐπειδὴ ἀεὶ μηδίζουσιν ἢ φιλιππίζουσιν.* Accuratius hanc causam descripsit Dem. 18, 161. 18: *πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε, ὥστε Φωκέας μὲν βούλεσθαι σωθῆναι, Θηβαίοις δ' ὁτιοῦν ἂν ἐφησθῆναι παθοῦσιν, οὐκ ἀλόγως αὐτοῖς ὀργιζόμενοι· οἷς γὰρ εὐτυχήκεσαν ἐν Λεύκτροις, οὐ μετρίως ἐκέχρηντο.* Aeschines igitur *τὸ ἀναίσθητον* Thebanorum *καὶ τὸ ὑβριστικόν* in causa fuisse existimat, ne amicitia et societas Atheniensium

140 *δέομαι διὰ τὰς ἀτυχίας αὐτῶν. ἀλλ' οἶμαι ἐπειδὴ Φίλιππος ἀφελόμενος Νίκαιαν Θετταλοῖς παρέδωκε, καὶ τὸν πόλεμον ὃν πρότερον ἐξήλασεν ἐκ τῆς χώρας τῆς Βοιωτῶν, τοῦτον πάλιν [τὸν αὐτὸν πόλεμον] ἐπήγαγε διὰ τῆς Φωκίδος ἐπ' αὐτὰς τὰς Θήβας, καὶ τὸ τελευταῖον Ἐλάτειαν καταλαβὼν ἐχαράκωσε καὶ φρουρὰν εἰσήγαγεν, ἐνταῦθ' ἤδη, ἐπεὶ τὸ δεινὸν αὐτῶν ἥπτετο, μετεπέμψαντο*

2 *ἀφελ.* W, *ἀφελ. αὐτῶν* Ah, *αὐτῶν ἀφελ.* B. 3 *ὃν . . . πόλεμον* (4) *om.* elh1. *τῆς Βοιωτ.* a, *τῶν Βοιωτ.* khgmn, *τῆς τῶν Βοιωτ.* M. 4 *τὸν αὐτὸν πόλ.* *deest in* Mead. Taylori.

ac Thebanorum fieret. Cf. Spengel, Verth. Ktesiph. 11.

§ 140. *Νίκαιαν*] Steph. Byz. 474: *τῶν Ἐπικνημιδίων Λοκρῶν.* Strabo illud oppidum in vicinitate Thermopylarum conlocatum fuisse auctor est IX p. 428: *Νίκαια μὲν ἐπὶ θάλατταν Λοκρῶν (πρὸς ταῖς Θερμοπύλαις ἐστὶ φρούριον ἐντὸς τῶν στενῶν).* Cf. Aesch. II 132. 138. Dem. Phil. II 24: *ἆρ' οἴεσθ', ὅτ' αὐτοῖς (τοῖς Θετταλοῖς) τοὺς τυράννους ἐξέβαλλε καὶ πάλιν Νίκαιαν καὶ Μαγνησίαν ἐδίδου, προσδοκᾶν τὴν καθεστῶσαν νῦν δεκαδαρχίαν ἔσεσθαι παρ' αὐτοῖς;* Dem. XI 5: *ὑποπτεύεται δὲ ὑπὸ Θηβαίων Νίκαιαν μὲν φρουρᾷ κατέχων.* Urbem igitur opportune in Thermopylis sitam cum ab Phalaeco accepisset, Philippus Thessalis potius quam Thebanis permisit, ut praesidio inposito ipse ibi aditum et fauces Graeciae obsideret et custodiret. Praesidium autem anno demum 342 a. Chr. inposuerat, cf. A. Schaefer II 402. Inde nimirum suspiciones et timores Thebanorum movebantur.

*τὸν πόλεμον ὃν — τοῦτον πάλιν*] Eandem prorsus correlationis figuram latini quoque scriptores effinxerunt, veluti Cic. Phil. XIV 8: Dolabellae ferum et inmane facinus, quod nulla barbaria posset agnoscere, id suo consilio factum esse testatur. Qua de re cf. Naegelsbach Stil. § 156, 1. Nullum vero mihi exemplum nec graecum nec latinum occurrit, ubi nomen ad sententiam demonstrativam et relativam simul pertinens semel ante relativum enuntiatum expressum denuo in demonstrativo membro repeteretur. Et pugnat sane rationi. Nam $ab + ac$ idem valet quod $a(b+c)$, non $a(b+c)a$. Quare apparet aut rhetorica quadam vi elatum Aeschinem *τὸν αὐτὸν πόλεμον* denuo extulisse, ut deinceps *ἐπ' αὐτὰς τὰς Θήβας* tamquam simile simili vel contrarium contrario responderet, aut vitium subesse. Vulgarem correlationis formam servavit Aeschines I 134: *τοὺς δ' ἤδη γεγονότας, ἐφ' οἷς προσήκει σεμνύνεσθαι τὴν πόλιν, ἐὰν κάλλει καὶ ὥρᾳ διενεγκόντες ἐκπλήξωσί τινας, τούτους ὡς ἔοικεν Αἰσχίνῃ πεισθέντες ἀτιμώσετε.* Cf. I 29.

*ἐπ' αὐτὰς τὰς Θήβας*] Thebani enim consilia sua cum Amphissensibus conmunicaverant.

*Ἐλάτειαν*] A. Schaefer II 515 sq. Strabo 418: *Ἐλάτεια δὲ πασῶν μεγίστη τῶν ἐνταῦθα πόλεων καὶ ἐπικαιριωτάτη διὰ τὸ ἐπικεῖσθαι τοῖς στενοῖς καὶ τὸν ἔχοντα ταύτην ἔχειν τὰς εἰσβολὰς τὰς εἰς τὴν Φωκίδα καὶ τὴν Βοιωτίαν.*

*μετεπέμψαντο*] Nuntium certe de adventu Philippi ac de Elateae munitione Athenas misisse Thebani videntur, cf. A. Schaefer II 516. Cuius autem factionis opera Athenas nuntius ille perlatus est, ea certe iam tum Atheniensium opem et auxilium exspectabat.

Ἀθηναίους, καὶ ὑμεῖς ἐξήλθετε καὶ εἰσῄειτε εἰς τὰς Θήβας [ἐν τοῖς ὅπλοις] διεσκευασμένοι, καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς, πρὶν περὶ συμμαχίας μίαν μόνην συλλαβὴν γράψαι Δημοσθένην. ὁ δ' εἰσάγων ἦν ὑμᾶς εἰς τὰς Θήβας 141
καιρὸς καὶ φόβος καὶ χρεία συμμαχίας ἀλλ' οὐ Δημοσθένης, ἐπεὶ περί γε ταύτας τὰς πράξεις τρία τὰ πάντων μέγιστα Δημοσθένης εἰς ὑμᾶς ἐξημάρτηκε, πρῶτον μὲν ὅτι Φιλίππου τῷ μὲν ὀνόματι πολεμοῦντος ὑμῖν, τῷ δ' ἔργῳ

1 Θήβας] πόλεις gmn. 2 καὶ οἱ ἱππεῖς καὶ οἱ πεζοὶ B, cf. § 88. 4 ἡμᾶς $A^h$. 6 τὰ *om.* el. 8 ἡμῖν $A^h$.

*ἐν τοῖς ὅπλοις διεσκευασμένοι*] Alterum utrum supervacaneum est, cf. Dem. Phil. III 73: *οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοιούτου κακοῦ προσιόντος ῥῆξαι φωνήν, πρὶν διασκευασάμενοι πρὸς τὰ τείχη προσῄεσαν οἱ πολέμιοι.* Erat autem hoc verbum apud classicos scriptores admodum rarum. Apud Xenoph. invenitur semel (Hell. IV 2, 19: *ἀντιπαρήγγειλαν ἅπαντας διασκευάζεσθαι ὡς εἰς μάχην*) eodem fere sensu quo alibi *παρασκευάζεσθαι*. Et Thucyd. IV 38 semel: *διεσκευάζοντο ὡς ἐς πλοῦν*, ceteris locis *παρασκευάζεσθαι* in eadem formula dicit. Quocirca nihil mirum si grammaticus quidam *ἐν τοῖς ὅπλοις* explicandi causa nescio an ex Dem. 18, 227 adscripsit. Nec tamen inprobabilis videtur contraria ratio, quia verbum illud in frequenti posteriorum usu fuit.

*πρὶν περὶ συμμαχίας*] Certe Eleusina profectus erat exercitus foedere Thebano nondum icto, sed celeritatem quidem ipsam illius expeditionis suaserat Demosthenes, cf. 18, 227: *τί οὖν φημὶ δεῖν; πρῶτον μὲν τὸν παρόντα ἐπανεῖναι φόβον, εἶτα μεταθέσθαι καὶ φοβεῖσθαι πάντας ὑπὲρ Θηβαίων· πολὺ γὰρ τῶν δεινῶν εἰσιν ἡμῶν ἐγγυτέρω, καὶ προτέροις αὐτοῖς ἐστιν ὁ κίνδυνος· ἔπειτ' ἐξελθόντας Ἐλευσῖνάδε τοὺς ἐν ἡλικίᾳ καὶ τοὺς ἱππέας δεῖξαι πᾶσιν ὑμᾶς αὐτοὺς ἐν τοῖς ὅπλοις ὄντας.* Nec vero antea Athenienses in Thebanorum agrum ingressi sunt quam foedus rite ictum esset.

§ 141. *τρία τὰ μέγιστα*] Primae partis explicatio conplectitur § 141 usque ad § 144, denique § 145 transiit ad alteram criminum partem. Nam primum crimen cum non unum aut simplex esset, ipsum in plures partes subdivisum est, quarum una enuntiatur § 142 (*πρῶτον μὲν*), altera § 143 (*δεύτερον δέ*). Primum igitur obiectavit Aeschines adversario suo, societatem illam in unius Thebanorum civitatis conmodum institutam esse. Nam primum nullis certis condicionibus factis Boeotiam esse obiectam Thebanorum arbitrio, deinde belli sumptuum duabus partibus solis Atheniensibus inpositis maritimum quidem inperium utrisque factum conmune, terrestre autem dolo et fraude totum ad Thebanos esse delatum.

*τῷ ὀνόματι πολεμοῦντος*] Immo ex quo tempore pax Philocratea sublata erat, magis erat Philippus in bello cum Atheniensibus quam cum Thebanis. Illa Demosthenis fraus erat, quod orationibus cottidie iactabat, Philippum non tam principatum totius Graeciae appetere, ut recte dicit Diod. 16, 84: *ἐφιλοτιμεῖτο καὶ τοὺς Ἀθηναίους καταπληξάμενος ἀδήριτον ἔχειν τὴν ἡγεμονίαν τῆς Ἑλλάδος*, sed libertatem urbis tollere atque etiam urbem infestissimam delere ac funditus diruere velle, cf. Dem. VIII 39—45. 61.

πολὺ μᾶλλον μισοῦντος Θηβαίους, ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε, καὶ τί δεῖ τὰ πλείω λέγειν; ταῦτα μὲν τὰ τηλικαῦτα τὸ μέγεθος ἀπεκρύψατο, προσποιησάμενος δὲ μέλλειν τὴν συμμαχίαν γενήσεσθαι οὐ διὰ τοὺς καιροὺς
142 ἀλλὰ διὰ τὰς αὑτοῦ πρεσβείας πρῶτον μὲν συνέπεισε τὸν δῆμον μηκέτι βουλεύεσθαι ἐπὶ τίσι δεῖ ποιεῖσθαι τὴν συμμαχίαν, ἀλλ' ἀγαπᾶν μόνον εἰ γίγνεται, τοῦτο δὲ προλαβὼν ἔκδοτον μὲν τὴν Βοιωτίαν ἅπασαν ἐποίησε Θηβαίοις, γράψας ἐν τῷ ψηφίσματι, ἐάν τις ἀφιστῆται πόλις ἀπὸ Θηβαίων, βοηθεῖν Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θή-

4 γίγνεσθαι A[h] 6 ποιήσασθαι A[h]. 7 εἴ τις elh. 8 πᾶσαν B.

αὐτὰ τὰ πράγματα δεδήλωκε] Intellegit eam rationem, qua Philippus post pugnam Chaeronensem Thebanos et Athenienses tractaverit, mitis in hos, severus in illos. Bremi.

ἀπεκρύψατο] Quasi vero clandestina tum consilia Philippus ad principes Atheniensium detulisset! An Aeschines quid consilii Philippus tum agitaret acceperat? Phocion quidem bellum et arma dissuaserat, cf. A. Schaefer II 526.

§ 142. ἐπὶ τίσι δεῖ ποιήσασθαι] Si quidem Demosthenes Atheniensium salutem et vitam in summum discrimen venisse putaverit, nemo certe existat qui eum reprehendat, quod Thebanorum voluntatibus, ut summam suae reipublicae servaret, multum concesserit et condonaverit. Hoc quidem magni est animi et prudentiae civilis documentum. Dem. 18, 178: ἐπειδὰν δ' ἔλθωσιν οἱ πρέσβεις εἰς Θήβας, πῶς χρήσασθαι τῷ πράγματι παραινῶ; μὴ δεῖσθαι Θηβαίων μηδὲν (αἰσχρὸς γὰρ ὁ καιρός), ἀλλ' ἐπαγγέλλεσθαι βοηθήσειν, ἂν κελεύωσιν, ὡς ἐκείνων μὲν ὄντων ἐν τοῖς ἐσχάτοις, ἡμῶν δ' ἄμεινον ἢ κεῖνοι τὸ μέλλον προορωμένων κτλ.

ἀγαπᾶν μόνον εἰ] Quamquam frequens est formula ἀγαπᾶν εἰ (ἐάν), cf. Benseler ad Isocr. Areop. § 52, Frohberg. Lys. XII 11, C. F. Hermann Abhandlung. 179 sq.; nusquam tamen adhuc mihi occurrit ἀγαπᾶν μόνον εἰ. Quodsi adverbium μόνον verum sincerumque, non interpolatione ortum est, id cum verbo ἀγαπᾶν coniungendum esse manifestum est. Qua in coniunctione similium notionum inest tautologia quaedam, velut in illo πρῶτον ἄρχομαι etc.

τοῦτο προλαβών] = Hoc cum artibus suis perfecisset, cf. § 21 et Franke ad Dem. Ol. II 9.

ἔκδοτον τὴν Βοιωτίαν] Ut Lacedaemonii Laconiae sic Thebani ex antiquissimis temporibus Boeotorum agro inperitare studebant. Cui inperio multae civitates ut Plataeensium semper repugnabant.

Βοιωτοῖς τοῖς ἐν Θήβαις] Argutiam Aeschines traducit Demosthenicam. Nam si foedus ita verbis conciperetur, speciosius videbatur et quo facilius veteres Atheniensium simultates mitigarentur, quibus minus Boeoti quam Thebani odio et irae essent. An significabat Demosthenes, Thebanorum civitatem totius Boeotiae caput et esse et haberi? Aesch. II 119: ἐγὼ παρὰ Φιλίππῳ μὲν ὧν ἠξίωσα, πρὸς δ' ὑμᾶς ἥκων ἀπήγγελλον ὅτι τὰς Θήβας Βοιωτίαν δίκαιον ἡγοίμην εἶναι καὶ μὴ τὴν Βοιωτίαν Θήβας, ubi cf. Schol.

βαις, τοῖς ὀνόμασι κλέπτων καὶ μεταφέρων τὰ πράγματα,
ὥσπερ εἴωθεν, ὡς τοὺς Βοιωτοὺς ἔργῳ κακῶς πάσχοντας
τὴν τῶν ὀνομάτων σύνθεσιν τῶν Δημοσθένους ἀγαπή-
σοντας, ἀλλ' οὐ μᾶλλον ἐφ' οἷς κακῶς ἐπεπόνθεσαν ἀγα-
νακτήσοντας· δεύτερον δὲ τῶν εἰς τὸν πόλεμον ἀναλωμά- 143
των τὰ μὲν δύο μέρη ὑμῖν ἀνέθηκεν, οἷς ἦσαν ἀπωτέρω
οἱ κίνδυνοι, τὸ δὲ τρίτον μέρος Θηβαίοις, δωροδοκῶν ἐφ'
ἑκάστοις τούτων, καὶ τὴν ἡγεμονίαν τὴν μὲν κατὰ θάλατ-
ταν ἐποίησε κοινήν, τὸ δ' ἀνάλωμα ἴδιον ὑμέτερον, τὴν
δὲ κατὰ γῆν, εἰ μὴ δεῖ ληρεῖν, ἄρδην φέρων ἀνέθηκε Θη-
βαίοις, ὥστε παρὰ τὸν γενόμενον πόλεμον μὴ κύριον γε-
νέσθαι Στρατοκλέα τὸν ὑμέτερον στρατηγὸν βουλεύσα-
σθαι περὶ τῆς τῶν στρατιωτῶν σωτηρίας. καὶ ταῦτ' οὐκ 144
ἐγὼ μὲν κατηγορῶ ἕτεροι δὲ παραλείπουσιν, ἀλλὰ κἀγὼ

3 ἀγαπήσοντας . . ἐπεπόνθεσαν *om.* a. 4 πεπόνθεσαν B. 8 τὴν μὲν glh. μὲν *om.* g. θάλασσαν gmn. 9 τὸ] τὴν a. 10 δεῖν klh. 11 ὥστε] ὅθεν lh. παρὰ] πρὸς lh. 12 ἡμέτ. C.

ὡς τοὺς κτλ.] De accus. absol. cf. 189. Frohb. Lys. vol. II 143.

ἔργῳ κακῶς πάσχοντας] scil. Demosthenis lege qua Thebanorum arbitrio quodammodo iure subiecti viderentur.

§ 143. τὰ δύο μέρη] Huius rei testis est Dem. ipse 18, 297—298: εἰ δὲ λέγεις ἢ τὰ πρὸς Θηβαίους δίκαια ἢ τὰ πρὸς Βυζαντίους ἢ τὰ πρὸς Εὐβοέας, ἢ περὶ τῶν ἴσων νυνὶ διαλέγῃ, πρῶτον μὲν ἀγνοεῖς ὅτι καὶ πρότερον τῶν ὑπὲρ τῶν Ἑλλήνων ἐκείνων ἀγωνισαμένων τριήρων, τριακοσίων οὐσῶν τῶν πασῶν, τὰς διακοσίας ἡ πόλις παρέσχετο, τοῖς θεοῖς ἔχουσα χάριν, εἰ κοινοῦ κινδύνου τοῖς Ἕλλησι περιστάντος αὐτὴ διπλάσια τῶν ἄλλων εἰς τὴν ἁπάντων σωτηρίαν παρέσχετο — εἶτα . . παρὰ τοὺς παρόντας καιρούς, ἐν οἷς οὐχ ὅσα ἠβουλόμεθα ἀλλ' ὅσα δοίη τὰ πράγματ' ἔδει δέχεσθαι. ὁ γὰρ ἀντωνούμενος καὶ ταχὺ τοὺς παρ' ἡμῶν ἀπελαυνομένους προσδεξόμενος καὶ χρήματα προσθήσων ὑπῆρχεν ἕτοιμος.

ἴδιον ὑμέτερον] Dem. 55, 8: τὸ μὲν γὰρ χωρίον ὁμολογεῖται καὶ παρ' αὐτῶν τούτων ἡμέτερον ἴδιον εἶναι. Lobeck Phryn. 441. Priscian. XVII § 126.

εἰ μὴ δεῖ ληρεῖν] Inde apparet specie quidem summam inperii conmunem fuisse, re autem summam potestatem ad Thebanos delatam esse. Videtur igitur Atheniensium dux, ut sociorum exercitus unius potius ingenio quam multorum consiliis regeretur, multis vinculis constrictus fuisse. Cf. A. Schaefer II 523 sq.

Στρατοκλέα] Hunc conmemorat etiam Polyaen. IV 2, 2: Φίλιππος ἐν Χαιρωνείᾳ παραταssόμενος Ἀθηναίοις εἴξας ἐνέκλινε. Στρατηγὸς Ἀθηναίων Στρατοκλῆς ἐκβοήσας „οὐ χρὴ ἀποστῆναι προσκειμένους, ἕως ἂν τοὺς πολεμίους κατακλείσωμεν εἰς Μακεδονίαν“ οὐκ ἀνῆκε διώκων. Φίλιππος εἰπὼν „οὐκ ἐπίστανται νικᾶν Ἀθηναῖοι“ ἐπὶ πόδα ἀνεχώρει. μετ' ὀλίγον ὑπερδεξίων τόπων λαβόμενος, ἀναστρέψας εὐρώστως ἐμβάλλει τοῖς Ἀθηναίοις, καὶ λαμπρῶς ἀγωνισάμενος ἐνίκησεν. Praeterea duces Atheniensium conmemorantur Lysicles et Chares. A. Schaefer II 532.

λέγω καὶ πάντες ἐπιτιμῶσι καὶ ὑμεῖς σύνιστε καὶ οὐκ ὀργίζεσθε. ἐκεῖνο γὰρ πεπόνθατε πρὸς Δημοσθένην· συνείθισθε ἤδη τἀδικήματα αὐτοῦ ἀκούειν, ὥστε οὐ θαυμάζετε. δεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἀγανακτεῖν καὶ τιμωρεῖσθαι, εἰ χρὴ τὰ λοιπὰ τῇ πόλει καλῶς ἔχειν.

145 Δεύτερον δὲ καὶ πολὺ τοῦτο μεῖζον ἀδίκημα ἠδίκησεν, ὅτι τὸ βουλευτήριον τὸ τῆς πόλεως καὶ τὴν δημοκρατίαν ἄρδην ἔλαθεν ὑφελόμενος καὶ μετήνεγκεν εἰς τὴν Καδμείαν, τὴν κοινωνίαν τῶν πράξεων τοῖς Βοιωτάρχαις συνθέμενος· καὶ τηλικαύτην αὐτὸς αὑτῷ δυνα-

3 αὐτοῦ A, τούτου B, τὰ τούτου Tur. θαυμάζεσθε n. 4 ἀλλ' *om.* n. 6 τοῦτο elh, τούτου x. 8 *ante* εἰς τὴν Καδμείαν *add.* C: εἰς Θήβας, *del.* Cobet.

§ 144. καὶ οὐκ ὀργίζεσθε] Aeschines haec dicit: Post Chaeronensem cladem multi Demosthenis accusatores extiterunt atque facinora et iniurias eius ostenderunt: omnes ad iram odiumque excitabant, vos tamen reum semper liberavistis! Dem. 18, 310: καὶ μετὰ ταῦτα συστάντων οἷς ἦν ἐπιμελὲς κακῶς ἐμὲ ποιεῖν, καὶ γραφὰς εὐθύνας εἰσαγγελίας πάντα ταῦτ' ἐπαγόντων μοι, οὐ δι' ἑαυτῶν τό γε πρῶτον ἀλλὰ δι' ὧν μάλισθ' ὑπελάμβανον ἀγνοήσεσθαι — ἴστε γὰρ δήπου καὶ μέμνησθε ὅτι τοὺς πρώτους χρόνους κατὰ τὴν ἡμέραν ἑκάστην ἐκρινόμην ἐγώ — ἐν τοίνυν τούτοις πᾶσι μάλιστα μὲν διὰ τοὺς θεούς, δεύτερον δὲ δι' ὑμᾶς καὶ τοὺς ἄλλους Ἀθηναίους ἐσωζόμην. A. Schaefer III 71 sq.

συνείθισθε] Cic. Mil. § 76: quamquam haec quidem iam tolerabilia videbantur, etsi aequabiliter in remp. in privatos, in longinquos in propinquos, in alienos in suos irruebat, sed nescio quo modo iam usu obduruerat et percalluerat civitatis incredibilis patientia.

§ 145. καὶ πολὺ τοῦτο μεῖζον] = alteram autem et hanc multo maiorem iniuriam etc. Thuc. IV 55: ξυνεστῶτες ναυτικῷ ἀγῶνι καὶ τούτῳ πρὸς Ἀθηναίους.

μετήνεγκεν εἰς τὴν Καδμείαν] Aeschines adludit ad Epaminondae illud audacissimum dictum, quod conmemoravit II 105: Ἐπαμεινώνδας στρατηγὸς οὐχ ὑποπτήξας τὸ τῶν Ἀθηναίων ἀξίωμα εἶπε διαρρήδην ἐν τῷ πλήθει τῶν Θηβαίων, ὡς δεῖ τὰ τῆς Ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προστασίαν τῆς Καδμείας. Harp. 160. Quod igitur superbe expetierat Epaminondas, hoc ignave et per fraudem Demosthenes ultro concessit Thebanis. Quod si recte statui, Aeschinem ad Epaminondae protervum dictum respectare, illud simul apparet, quod in codicibus adiciatur εἰς Θήβας iure ac merito a Cobeto tamquam emblema grammatici eiectum esse.

δυναστείαν] Plut. Dem. 18: οὕτω δὲ μέγα καὶ λαμπρὸν ἐφάνη τὸ τοῦ ῥήτορος ἔργον, ὥστε τὸν μὲν Φίλιππον εὐθὺς ἐπικηρυκεύεσθαι δεόμενον εἰρήνης, ὀρθὴν δὲ τὴν Ἑλλάδα γενέσθαι καὶ συνεξαναστῆναι πρὸς τὸ μέλλον, ὑπηρετεῖν δὲ μὴ μόνον τοὺς στρατηγοὺς τῷ Δημοσθένει ποιοῦντας τὸ προσταττόμενον ἀλλὰ καὶ τοὺς Βοιωτάρχας, καὶ διοικεῖσθαι τὰς ἐκκλησίας ἁπάσας οὐδὲν ἧττον ὑπ' ἐκείνου τότε τὰς Θηβαίων ἢ τὰς Ἀθηναίων, ἀγαπωμένου παρ' ἀμφοτέροις καὶ δυναστεύοντος, οὐκ ἀδίκως οὐδὲ παρ' ἀξίαν, ὥσπερ ἀποφαίνεται Θεόπομπος, ἀλλὰ καὶ

*στείαν κατεσκεύασεν, ὥστ' ἤδη παριὼν ἐπὶ τὸ βῆμα πρεσβεύσειν μὲν ἔφη ὅποι ἂν αὐτῷ δοκῇ, κἂν μὴ ὑμεῖς ἐκπέμπητε, εἰ δέ τις αὐτῷ τῶν στρατηγῶν ἀντείποι,* 146
*καταδουλούμενος τοὺς ἄρχοντας καὶ συνεθίζων μηδὲν αὐτῷ ἀντιλέγειν διαδικασίαν ἔφη γράψειν τῷ βήματι πρὸς τὸ στρατήγιον· πλείω γὰρ ὑμᾶς ἀγαθὰ ὑφ' ἑαυτοῦ ἔφη πεπονθέναι ἢ ὑπὸ (πάντων) τῶν στρατηγῶν.*

1 *πρεσβευτὸν* elh, *πρεσβεύσειν* k (?). 2 *ὅποι* k, *ὅπου* elB. 3 *αὐτῶν* lh. *ἀντείπῃ* lh. 4 *καταδουλομένος* e. *καὶ om.* n. 5 *αὐτῷ* Bkl, *ἑαυτῷ* e. *γράφειν* A[h]. 6 *τὸ*] *τὸν* lh. *στρατηγεῖον* g, *τὴν στρατηγίαν* Plut. 7 *post ἔφη add.* B: *ἀπὸ βήματος*, A: *ἀπὸ τοῦ βήματος*, *del.* W. *post στρατηγ. add.* Aamn: *ἐκ τοῦ στρατηγίου*, g: *ἐκ τοῦ στρατηγείου*, *del.* W, vel *ὑπὸ τῶν ἐκ τοῦ στρατηγείου* vel *ὑπὸ πάντων τῶν ἐκ τοῦ στρ.* Cob. Cf. Plut. Mor. 350 b.

*πάνυ προσηκόντως.* Theopompum autem suo iure licentiam arbitrium, temeritatem vehementiamque Demosthenis atque Atheniensium oboedientiam et obsequium reprehendisse, hoc nostra memoria Gambettae Gallorumque insigni exemplo docemur. Cf. A. Schaefer II 524. Boehnecke Forsch. I 570 sq.

*ὅποι ἂν αὐτῷ δοκῇ*] Iam ab initio belli summam sibi Dem. postulaverat potestatem, cf. 18, 228: *μετὰ ταῦτα χειροτονῆσαι κελεύω δέκα πρέσβεις καὶ ποιῆσαι τούτους κυρίους μετὰ τῶν στρατηγῶν καὶ τοῦ πότε δεῖ βαδίζειν ἐκεῖσε* (= *εἰς Θήβας*) *καὶ τῆς ἐξόδου.* Foedere autem Thebano icto plures deinde legationes per Graeciam suscepit. Schol.: *Δημοσθένης οὕτως ἔπραττεν, ἵνα μὴ Φίλιππος μαθὼν πέμψῃ τοὺς ἀντεροῦντας καὶ ἀντιπρεσβευσομένους· ὅθεν τοῦτο ἔλεγεν· βούλομαι λάθρα ὑμῶν πρεσβεῦσαι. κακοήθης οὖν ὁ Αἰσχίνης.*

§ 146. *ἀντείποι*] Velut Phocio, cf. Plut. Phoc. 16.

*διαδικασίαν*] Schol.: *διαδικασία, ὅταν τις ἐπιτηδειότατον ἑαυτὸν ἀποδεικνύειν λέγῃ· ὁ οὖν Δημοσθένης, φησίν, εἰς τοῦτο ἠλαζονεύετο πρὸς τὸν στρατηγὸν* (*τὸ στρατήγιον*?) *ὥστε λέγειν τῷ βήματι πρὸς τὸν στρατηγὸν* (?) *ἀγωνιεῖσθαι διαδικασίαν, ὡς κρεῖττον ἐπιδείξων τὸ βῆμα τοῦ στρατηγίου διὰ τὰς ἑαυτοῦ δημηγορίας, ὥστε ἀποφαίνεσθαι ἑαυτὸν τῶν στρατηγῶν κρείττονα.* Bekker Anecd. I 236: *διαδικασία· οὐχ ἁπλῶς πᾶσα δίκη διαδικασία καλεῖται, ἀλλ' ἐν αἷς περί τινος ἀμφισβήτησίς ἐστιν, ὅτῳ προσήκει μᾶλλον.* Cf. Meier-Schoemann, Att. Proz. 368. Translate etiam hanc vocem usurpavit Dinarch. 2, 1: *Ἀριστογείτων διαδικασόμενος ἥκει τῇ ἐξ Ἀρείου πάγου βουλῇ περὶ ἀληθείας καὶ δικαιοσύνης.* Prorsus diversum est illud quod de suo consulatu praedicavit Cicero (Off. I 77): cedant arma togae, concedat laurea laudi. Ceterum cf. Plat. 813 e: *καὶ βλέπειν* (*δεῖ*) *ἀπὸ τοῦ στρατηγίου πρὸς τὸ βῆμα.* Plut. Pericl. 37: *ποθούσης δ'* (i. e. *τῆς πόλεως*) *ἐκεῖνον καὶ καλούσης ἐπὶ τὸ βῆμα καὶ τὸ στρατήγιον.*

*ἢ ὑπὸ τῶν στρατηγῶν κτλ.*] Librorum scripturam vix credo satis defendi posse. Nam si quidem Demosthenes plura reipublicae attulit conmoda quam praetores, aliter certe quam pro suggestu prodesse non potuerat: certe nec potuerat nec voluerat excellere in praetorio. Quare apte conparari poterant Demosthenis et praetorum merita, non item suggestus et praetorium.

*μισθοφορῶν δ' ἐν τῷ ξενικῷ κεναῖς χώραις καὶ στρατιωτικὰ χρήματα κλέπτων, καὶ τοὺς μυρίους ξένους ἐκμισθώσας Ἀμφισσεῦσι πολλὰ διαμαρτυρομένου καὶ σχετλιάζοντος ἐν ταῖς ἐκκλησίαις ἐμοῦ, προσέμιξε φέρων τὸν κίν-*
147 *δυνον ἀπαρασκεύῳ τῇ πόλει. τί γὰρ ἂν οἴεσθε Φίλιππον ἐν τοῖς τότε καιροῖς εὔξασθαι; οὐ χωρὶς μὲν πρὸς τὴν πολι-*

1 *κεναῖς* M, *καιναῖς* C. *τὰ στρατ.* B. 3 *διαμαρτυρ*$^{ου}$*ομ.* h, *διαμαρτυρουμένου* lgmn, *διαμαρτυραμένου* k, *διαμαρτυρούμενος* e. 4 *post φέρων add.* A: *ἐκ τῶν ἀναρπασθέντων ξένων*, B: *ἀναρπ. τῶν ξένων*, *del.* W. 5 *ἂν om.* lh.

Nam praetorum quidem virtutes non intra praetorii parietes concludebantur, sed latius patebant. Nec oratorum consilia cum consiliis praetorum conferuntur, sed oratorum prudentia, quae in contionibus cernitur, cum virtute praetorum, quae re publica fortiter ac sapienter gerenda conspicua est. Additamenta autem orta sunt propterea quod antecesserat: *τῷ βήματι πρὸς τὸ στρατήγιον.* Cf. etiam Cobet N. L. 103. 229. Plut. Pericl. 37. Nic. 5. 15. Pollux IX 41.

*κεναῖς χώραις*] Stipendia publice in certum numerum mercenariorum Demosthenes acceperat. Cum autem hunc numerum non expleret, magnam partem pecuniae publicae ipse sibi retinebat. Quare saepenumero publice mittebantur, qui quantus mercenariorum numerus esset coram aspicerent, cf. I 113: *πεμφθεὶς γὰρ ὑφ' ὑμῶν ἐξεταστὴς τῶν ἐν Ἐρετρίᾳ ξένων μόνος τῶν ἐξεταστῶν ὡμολόγει λαβεῖν ἀργύριον.*

*ἐκμισθώσας Ἀμφισσεῦσι*] Haud inmerito hanc inprudentiam ac temeritatem Demostheni exprobrat. Nam nec Amphissenses tam exigua manu propulsare Philippi exercitum poterant et Athenienses hoc facinore bello periculoso inligabantur, cf. Spengel, Verth. Ktesiph. 49.

*διαμαρτυρ. σχετλ.*] *Διαμαρτύρεσθαι* est Latinorum contestari, obtestari, deos hominesque testes vocare, *σχετλιάζειν* est clamare aliquid *σχέτλιον εἶναι* i. e. inprobum iniquum intolerabile. Aristoph. Plut. 477: *οὐ δεῖ σχετλιάζειν καὶ βοᾶν πρὶν ἂν μάθῃς.* Hinc *σχετλιασμός* est conquestio, i. e. oratio qua conquerimur et conmoti sumus ex iniuria vel adversa fortuna. Bremi.

*προσέμιξε φέρων*] Schol.: *τὸ ἀκόλουθον οὕτως· καὶ τοὺς μυρίους ξένους ἐκμισθώσας Ἀμφισσεῦσι προσέμιξε φέρων τῇ πόλει ἀπαρασκεύῳ τὸν κίνδυνον. εἶτα ἡ αἰτία ἐν μέσῳ· ἀναρπασθέντων τῶν ξένων, περὶ ὧν ὁ λόγος, δι' αὐτὸν ἀπὸ τῆς πόλεως καὶ προσχωρησάντων τοῖς Ἀμφισσεῦσιν.* Qua in explicatione primum illud falsum est, quod *ἀναρπάζειν* tamquam avellere, disiungere sit enarratur, cum nihil aliud significet nisi evellere, evertere, e medio tollere, cf. 133. 136. Deinde parum credibile est in genetivo absoluto causae potius et rationis quam temporis notionem inesse. Quare nescio an grammaticis illis alia prorsus scriptura ob oculos fuerit, cum praesertim in altero codicum genere haec varietas sit: *προσέμιξε φέρων ἐκ τῶν ἀναρπ. ξένων.*

§ 147. *Φίλιππον εὔξασθαι*] Hanc sententiam ab Homero usque cum alii scriptores tum oratores varie exornaverunt, cf. Dem. VIII 20: *εἰ γάρ τις ἔροιτο Φίλιππον· „εἰπέ μοι, πότερ' ἂν βούλοιο τούτους τοὺς στρατιώτας, οὓς Διοπείθης νῦν ἔχει, εὐθενεῖν καὶ παρ' Ἀθηναίοις εὐδοξεῖν καὶ πλείους γίγνεσθαι*

*τικὴν δύναμιν χωρὶς δ' [ἐν Ἀμφίσσῃ] πρὸς τοὺς ξένους διαγωνίσασθαι, ἀθύμους δὲ τοὺς Ἕλληνας λαβεῖν τηλικαύτης πληγῆς προγεγενημένης; καὶ τηλικούτων κακῶν αἴτιος γεγενημένος Δημοσθένης οὐκ ἀγαπᾷ εἰ μὴ δίκην δέδωκεν, ἀλλ' εἰ μὴ καὶ χρυσῷ στεφάνῳ στεφανωθήσεται ἀγανακτεῖ· οὐδ' ἱκανόν ἐστιν αὐτῷ ἐναντίον ὑμῶν κηρύττεσθαι, ἀλλ' εἰ μὴ τῶν Ἑλλήνων ἐναντίον ἀναρρηθήσεται, τοῦτ' ἤδη ἀγανακτεῖ. οὕτως, ὡς ἔοικε, πονηρὰ φύσις μεγάλης ἐξουσίας ἐπιλαβομένη δημοσίας ἀπεργάζεται συμφοράς.*

*Τρίτον δὲ καὶ τῶν προειρημένων μέγιστόν ἐστιν ὃ* 148
*μέλλω λέγειν. Φιλίππου γὰρ οὐ καταφρονοῦντος τῶν*

3 *προγ.* B, *γεγενημένης* A. 4 *γενόμενος* A. 5 *καὶ μὴ* amn. *στεφανωθήσεσθαι* klh. 6 *ἱκανός* lh. 8 *ἤδη add.* A[h].

*τῆς πόλεως συναγωνιζωμένης, ἢ διαβαλλόντων τινῶν καὶ κατηγορούντων διασπασθῆναι καὶ διαφθαρῆναι;" ταῦτ' ἂν οἶμαι φήσειεν. εἶθ' ἃ Φίλιππος ἂν εὔξαιτο τοῖς θεοῖς, ταῦθ' ἡμῶν τινες ἐνθάδε πράττουσιν; εἶτ' ἔτι ζητεῖτε, πόθεν τὰ τῆς πόλεως ἀπόλωλεν ἅπαντα;*

*ἐν Ἀμφίσσῃ*] Plut. Dem. 18: *Φίλιππος ὑπὸ τῆς περὶ τὴν Ἄμφισσαν εὐτυχίας ἐπαιρόμενος εἰς τὴν Ἐλάτειαν ἐξαίφνης ἐνέπεσε καὶ τὴν Φωκίδα κατέσχεν.* A. Schaefer II 514. Ac tamen *ἐν Ἀμφίσσῃ* non ab ipso Aeschine sed a grammatico quodam idque supra versum additum esse existimo. Nam *χωρὶς μὲν — χωρὶς δὲ* universam sententiam bipartitam continet. Quodsi una pars sententiae locorum et proelii conmemoratione distinguatur, ne altera quidem eadem notitia carere potest. Quare cum in uno membro sententiae pariter conformatae eiusmodi notio desit, in alterum membrum *ἐν Ἀμφίσσῃ* explicandi causa inlatum esse arbitror.

*δημοσίας συμφοράς*] Quid? Inpudentiam Demosthenis et inportunitatem, quam proxima ante sententia descripserat, aut ipsam publicam calamitatem fuisse credas aut contumeliam reipublicae ex illo vitio inustam? Hoc vero manifestum est ex verbo *ἀπεργάζεται*. Quid autem? Quam tandem calamitatem Demosthenica inpudentia reip. inflixit? An exeuntium Atheniensium animorum demissionem? Qua relicta iam multa verba fecerat de corona et renuntiatione. Haec videlicet ipsa coronae renuntiatio omnium Graecorum adspectu magnam contumeliam et calamitatem contractura videbatur ei civitati, quae eius ipsius hominis, quem honoraret, consiliis cum ipsa pessumdata et fracta esset tum multos alios ad interitum et perniciem rapuisset.

§ 148. Quanto tum et Athenis et Thebis animorum conmotio fuerit, quam vehementer Demosthenes cives suos ad bellum accenderit, quam prudenter rursus alii pacem et tranquillitatem suaserint, elucet ex horum exemplorum conparatione: Plut. Dem. 18: *τὸ μὲν οὖν συμφέρον οὐ διέφυγε τοὺς τῶν Θηβαίων λογισμούς, ἀλλ' ἐν ὄμμασιν ἕκαστος εἶχε τὰ τοῦ πολέμου δεινά, ἔτι τῶν Φωκικῶν τραυμάτων νεαρῶν παραμενόντων· ἡ δὲ τοῦ ῥήτορος δύναμις, ὥς φησι Θεόπομπος, ἐκριπίζουσα τὸν θυμὸν* (*τὸ ἄθυμον?*) *αὐτῶν καὶ διακαίουσα τὴν φιλοτιμίαν ἐπεσκό-*

Ἑλλήνων, οὐδ' ἀγνοοῦντος, οὐ γὰρ ἦν ἀσύνετος, ὅτι περὶ τῶν ὑπαρχόντων ἀγαθῶν ἐν ἡμέρας μικρῷ μέρει διαγωνιεῖται, καὶ διὰ ταῦτα βουλομένου ποιήσασθαι τὴν εἰρήνην καὶ πρεσβείας ἀποστέλλειν μέλλοντος, καὶ τῶν ἀρχόντων τῶν ἐν Θήβαις φοβουμένων τὸν ἐπιόντα κίνδυνον, εἰκότως· οὐ γὰρ ῥήτωρ ἀστράτευτος καὶ λιπὼν τὴν τάξιν αὐτοὺς ἐνουθέτησεν, ἀλλ' ὁ Φωκικὸς πόλεμος δεκέτης γεγονὼς ἀείμνηστον παιδείαν αὐτοὺς ἐπαίδευσε,
149 τούτων δὲ ἐχόντων οὕτως αἰσθόμενος Δημοσθένης, καὶ τοὺς Βοιωτάρχας ὑποπτεύσας μέλλειν εἰρήνην ἰδίᾳ ποιεῖσθαι χρυσίον ἄνευ αὐτοῦ παρὰ Φιλίππου λαβόντας,

2 μικρῷ kh, σμικρῷ x. 7 τὰς τάξεις $A^{h}$. 8 δεκέτης A, δεκαετὴς B. προγεγενημένος ekh. 9 δὲ *om.* $A^{h}$. 10 ἰδίᾳ *om.* $A^{h}$.

τησε τοῖς ἄλλοις ἅπασιν, ὥστε φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτοὺς ἐνθουσιῶντας ὑπὸ τοῦ λόγου πρὸς τὸ καλόν. Plut. Phoc. 16: ἤδη δὲ πρὸς Φίλιππον ἐκπεπολεμωμένων παντάπασι καὶ στρατηγῶν αὐτοῦ μὴ παρόντος ἑτέρων ἐπὶ τὸν πόλεμον ᾑρημένων, ὡς κατέπλευσεν ἀπὸ τῶν νήσων, πρῶτον μὲν ἔπειθε τὸν δῆμον εἰρηνικῶς ἔχοντος τοῦ Φιλίππου καὶ φοβουμένου τὸν κίνδυνον ἰσχυρῶς δέχεσθαι τὰς διαλύσεις· καί τινος ἀντικρούσαντος αὐτῷ τῶν εἰωθότων κυλινδεῖσθαι περὶ τὴν Ἡλιαίαν καὶ συκοφαντεῖν καὶ εἰπόντος, σὺ δὲ τολμᾷς ὦ Φωκίων ἀποτρέπειν Ἀθηναίους ἤδη τὰ ὅπλα διὰ χειρῶν ἔχοντας; ἔγωγε, εἶπε, καὶ ταῦτ' εἰδὼς ὅτι πολέμου μὲν ὄντος ἐγὼ σοῦ, εἰρήνης δὲ γενομένης σὺ ἐμοῦ ἄρξεις. ὡς δ' οὐκ ἔπειθεν, ἀλλ' ὁ Δημοσθένης ἐκράτει κελεύων ὡς πορρωτάτω τῆς Ἀττικῆς θέσθαι μάχην τοὺς Ἀθηναίους, ὦ τᾶν, ἔφη, μὴ ποῦ μαχώμεθα σκοπῶμεν, ἀλλὰ πῶς νικήσομεν. οὕτω γὰρ ἔσται μακρὰν ὁ πόλεμος, ἡττωμένοις δὲ πᾶν ἀεὶ δεινὸν ἐγγὺς πάρεστι. Atque huc nescio an pertineat Plut. Phoc. 9: τῶν δὲ ἀντιπολιτευομένων αὐτῷ ῥητόρων Δημοσθένους μὲν εἰπόντος· ἀποκτενοῦσί σε Ἀθηναῖοι Φωκίων, ἂν μανῶσιν, εἶπε, σὲ δὲ ἂν σωφρονῶσιν. Pacis condiciones a Philippo perlatas, nisi bello armisque multo superiores se esse crederent, Athenienses certe repudiare non debuerunt. Qua de re omnium prudentissime disseruit L. Spengel, Verth. Ktes. 53.

οὐ γὰρ ἦν ἀσύνετος] qualem Demosthenes eum fere semper descripserat. Sententiae eandem prorsus conformationem vide apud Dem. 18, 19: ταῦτα δ' ὁρῶν ὁ Φίλιππος — οὐ γὰρ ἦν ἀφανῆ — κτλ. Cic. Sest. 42: haec ego cum viderem — neque enim erant occulta.

πόλεμος δεκέτης] Planud. Bachm. Anecd. II 37: ἑξαετὴς ἵππος, ἑξέτης δέ, δεκαετής, δεκέτης δέ· ἀφαιρουμένου γὰρ τοῦ α ἀναβιβάζει τὸν τόνον. ὁμοίως καὶ ὅταν συναιρῆται τριακονταετής τριακοντούτης. Cf. Goettling Acc. 323 sqq. Adiectivi autem vim praedicativam cum grammatici veteres parum perspexissent, addidisse videntur alii γεγονὼς alii προγεγενημένος.

ἐπαίδευσε] Plut. Dem. 18: ἔτι τῶν Φωκικῶν τραυμάτων νεαρῶν παραμενόντων.

§ 149. χρυσίον . . λαβόντας] Quod Aeschines ubique adversario tam perditam consiliorum ra-

*ἀβίωτον ἡγησάμενος εἶναι εἴ τινος ἀπολειφθήσεται δωροδοκίας, ἀναπηδήσας ἐν τῇ ἐκκλησίᾳ, οὐδενὸς ἀνθρώπων λέγοντος οὔθ' ὡς δεῖ ποιεῖσθαι εἰρήνην οὔθ' ὡς οὐ δεῖ, ἀλλ' ὡς κήρυγμά τι τοῖς Βοιωτάρχαις προκηρύττων ἀναφέρειν αὑτῷ τὰ μέρη τῶν λημμάτων, διώμνυτο τὴν Ἀθη-* 150
*νᾶν, ἣν ὡς ἔοικε Φειδίας ἐνεργολαβεῖν εἰργάσατο καὶ ἐνεπιορκεῖν Δημοσθένει, ἦ μὴν εἴ τις ἐρεῖ ὡς χρὴ πρὸς Φίλιππον εἰρήνην ποιήσασθαι ἀπάξειν εἰς τὸ δεσμωτήριον ἐπιλαβόμενος τῶν τριχῶν, ἀπομιμούμενος τὴν Κλεοφῶντος πολιτείαν, ὃς ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πο-*

3 *εἰρήνην* W, *εἰρ. πρὸς φίλιππον* a, *πρὸς φιλ. εἰρ.* x. 4 *ὡς* W, *ὡς ᾤετο* C, fort. *ὡς ἔοικε*. *κήρυγμά τι* Tur., *τοῦτο κήρυγμά τι* agm, *τοῦτο κηρύγματι* n, *κηρύγματι τούτῳ* A[b]. 5 *αὑτῷ* B, *ἑαυτῷ* A. 10 *πρὸς τοὺς* a.

tionem inposuit, et multum ipse sibi nocuit et illius aetatis pravitatem secutus est. Quare ne verbum quidem iam addo.

*ἀλλ' ὡς — προκηρύττων*] = sed tamquam publica auctoritate denuntians Boeotarchis etc. „Nam *κήρυγμα* est mandatum vel a senatu datum vel a populo iussum, quod voce praeconis publice pronuntiabatur. Hinc tropice significat iussum cui tamquam a summo magistratu mandato sit obtemperandum." Bremi. Paulo infra 154: *προελθὼν ὁ κῆρυξ . . ἐκήρυττε τὸ κάλλιστον κήρυγμα καὶ προτρεπτικώτατον πρὸς ἀρετήν.*

§ 150. *τὴν Ἀθηνᾶν*] Minerva est illa eximiae pulchritudinis (Plin. h. n. 34, 8, 19), quae in arce conlocata fuerat, cf. Paus. I 28, 2: *τῶν ἔργων τῶν Φειδίου θέας μάλιστα ἄξιον Ἀθηνᾶς ἄγαλμα ἀπὸ τῶν ἀναθέντων καλουμένης Λημνίας.* Sillig Catalog. 345. Praeterea Minerva e manubiis Marathoniis aere facta in arce sub dio conlocata erat, de qua Dem. 19, 272. Denique eburnea Minerva in Parthenone erat, quam descripserunt Plin. h. n. 36, 5, 4 et Paus. I 24, 5. Haec omnia fuerunt opera Phidiae. Verbum autem *διόμνυσθαι* indicat sollemnem ritum et summam religionem, cf. Dinarch. I 47: *ἐπιωρκηκὼς μὲν τὰς σεμνὰς θεὰς ἐν Ἀρείῳ πάγῳ καὶ τοὺς ἄλλους θεοὺς οὓς ἐκεῖ διόμνυσθαι νόμιμόν ἐστι.*

*ἀπάξειν*] Tamquam hominem in scelere ipso deprehensum, cf. Meier-Schoem. Proz. 227.

*εἰς τὸ δεσμωτήριον*] i. e. ad undecimviros, qui publico carceri praeerant.

*Κλεοφῶντος*] Schol.: *οὗτός ἐστιν ὁ λυροποιὸς ἐπικαλούμενος* (i. e. in comoedia). *ἐδημαγώγησε δὲ τὰ ἔσχατα τοῦ Πελοποννησιακοῦ πολέμου μετὰ τὴν ἐν Σικελίᾳ συμφοράν.* Schol. Aristoph. Ran. 1532: *Κλεοφῶν δὲ μαχέσθω· παρόσον, ὡς Ἀριστοτέλης φησί, μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν Λακεδαιμονίων βουλομένων ἐκ Δεκελείας ἀπιέναι ἐφ' οἷς ἔχουσιν ἑκάτεροι καὶ εἰρήνην ἄγειν ἐπὶ του Καλλίου* (= Ol. 93, 3 — 406 a. Chr.), *Κλεοφῶν ἔπεισε τὸν δῆμον μὴ προσδέξασθαι, ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώρακα ἐνδεδυκώς, οὐ φάσκων ἐπιτρέψειν ἐὰν μὴ πάσας ἀφῶσι τὰς πόλεις οἱ Λακεδαιμόνιοι. οὗτος δὲ ὁ Κλεοφῶν ὡς ξένος κωμῳδεῖται.* Eandem rem attigit Aesch. 76, ubi haec adiecit: *Κλεοφῶν δ' ὁ λυροποιὸς ἀποκόψειν ἠπείλει μαχαίρᾳ τὸν τράχηλον, εἴ τις εἰρήνης μνησθήσεται.* Cf. Sauppe, Fragm. Oratt. 154.

*λέμου, ὥς λέγεται, τὴν πόλιν ἀπώλεσεν. ὡς δ' οὐ προσ-*
*εῖχον αὐτῷ οἱ ἄρχοντες οἱ ἐν ταῖς Θήβαις, ἀλλὰ καὶ τοὺς*
*στρατιώτας τοὺς ὑμετέρους πάλιν ἀνέστρεψαν ἐξεληλυ-*
151 *θότας, ἵνα βουλεύσαισθε περὶ τῆς εἰρήνης, ἐνταῦθ' ἤδη*
*παντάπασιν ἔκφρων ἐγένετο, καὶ παρελθὼν ἐπὶ τὸ βῆμα*
*προδότας τῶν Ἑλλήνων ἀπεκάλει, καὶ γράψειν ἔφη ψή-*
*φισμα ὁ τοῖς πολεμίοις οὐδεπώποτ' ἀντιβλέψας πέμπειν*
*ὑμᾶς πρέσβεις [εἰς Θήβας] αἰτήσοντας Θηβαίους δίοδον*
*ἐπὶ Φίλιππον. ὑπεραισχυνθέντες δὲ οἱ ἐν Θήβαις ἄρχον-*
*τες μὴ δόξωσιν ὡς ἀληθῶς εἶναι προδόται τῶν Ἑλλή-*
*νων, ἀπὸ μὲν τῆς εἰρήνης ἀπετράποντο, ἐπὶ δὲ τὴν παρά-*
*ταξιν ὥρμησαν.*

152 *Ἔνθα δὴ καὶ τῶν ἀγαθῶν ἀνδρῶν ἄξιόν ἐστιν ἐπι-*
*μνησθῆναι, οὓς οὗτος ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων*
*τῶν ἱερῶν ἐκπέμψας ἐπὶ τὸν πρόδηλον κίνδυνον ἐτόλ-*

3 *ἀνέτρεψαν* elh. 4 *βουλεύσαισθε* Sauppe, *βουλεύσησθε* C. *ἤδη add.* $\mathrm{A}^{h}$. 6 *ἀπεκάλει* $\mathrm{A}^{h}$, *ἀπεκάλεσε* B, *ante hoc verbum add.* B, *post idem verbum add.* $\mathrm{A}^{2}$ *τοὺς βοιωτάρχας, del.* W. *γράψειν ἔφη* B, *γράφει* $\mathrm{A}^{h}$, *fort. rectius.* 7 *οὐδεπώποτ'* $\mathrm{A}^{h}$, *οὐδέποτ'* B. 9 *ἐν ταῖς θήβαις* $\mathrm{A}^{h}$, *fort. οἱ ἄρχοντες.* 11 *ἀπετρέποντο* B. 13 *τῶν ἀνδρῶν τῶν ἀγαθῶν* $\mathrm{A}^{h}$, *fort. ἀγαθ. delendum.*

Lys. XIII 7—12, XXX 10—13, XIX 48, Isocr. VIII 75, Andoc. I 146.

*ἀνέστρεψαν*] reverti cogere vel iubere. Ac simul invidiam quandam hoc verbum habere videtur. Nam proprie etiam dicebatur de fuga, ut *ἐπαναχωρεῖν*.

§ 151. *ἐνταῦθ' ἤδη*] Cf. § 140.

*ἀπεκάλει*] De hoc inperfecti temporis usu v. ad § 131: *ἀπετόλμα λέγειν*.

*ὁ τοῖς πολ. . . ἀντιβλέψας*] Haec locutio summum timoris gradum indicat, quam etiam Latini receperunt. De hac formula quae conligi possunt, conlegit et inlustravit Bentley ad Horat. I 3, 18. Contra *βλέπειν εἴς τινος πρόσωπον* inpudentiam notans § 152. Adde Dem. 18, 283: *εἶτα σὺ φθέγγῃ καὶ βλέπειν εἰς τὰ τούτων πρόσωπα τολμᾷς.* Bremi. Attulit autem hunc locum Priscian. XVIII 190 ita: „prospicio“ et „provideo illi“ et „illum“. *Αἰσχ. ἐν τῷ κ. Κτ.: ὁ μηδεπώποτε μήτε τοὺς πολεμίους ἀντιβλέψας*, ubi Spengelius Varro 638 haec adnotavit: „Cave credas Prisciani esse errorem *μηδεπώποτε μήτε*, haec enim vestigia sunt loci qui intercidit. Praecedunt: prospicio illum et illi et utramque structuram Graecis quoque esse docere volt, unde accusativi exemplum laudatum fuisse necesse est“. Quid igitur credamus? In Aeschinis quidem oratione nihil prorsus deesse videtur. Sed Priscianus cum praeter Aeschinem aliud exemplum attulisset, haec duo exempla, cum alterius pars intercidisset, mixta in unum confluxerunt. Quare nihil inde magnopere ad Aeschinem emendandum lucramur.

§ 152. *ἀθύτων — κίνδυνον*] = § 131.

*ἐτόλμησε*] Schol.: *ἐκ τούτου μάλιστα κατάδηλόν ἐστιν ὅτι γνήσιος ἦν Δημοσθένους λόγος ὁ ἐπιτάφιος, ὃν εἶπεν ἐπὶ τοῖς ἐν Χαιρωνείᾳ τελευτήσασιν.* Qua

*μησε τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν ἀναβὰς ἐπὶ τὸν τάφον ἐγκωμιάζειν τὴν ἐκείνων ἀρετήν. ὦ πρὸς μὲν τὰ μεγάλα καὶ σπουδαῖα τῶν πραγμάτων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατε, ἐπιχειρήσεις αὐτίκα μάλα, βλέπων εἰς τὰ τούτων πρόσωπα, λέγειν ὡς δεῖ σε ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς στεφανοῦσθαι; ἂν δ' οὗτος λέγῃ, ὑμεῖς ὑπομενεῖτε, ἢ συναποθανεῖται τοῖς τελευτήσασιν, ὡς ἔοικε, καὶ ἡ ὑμετέρα μνήμη; γένεσθε δή μοι μικρὸν χρόνον τὴν* 153

2 *τὸν τάφον* W, *τὸν τάφ. τῶν τελευτησάντων* A (*τὸν τῶν* k), *τὸν τάφ. τῶν τετελευτηκότων* B. 3 *σπουδαῖα τῶν πραγμάτων* M, *σπουδαῖα πάντων* Ag, *σπουδαῖα τῶν* amn, cf. Rhet. Speng. III 36. 169. 186. 4 *τοῖς om.* g. Alex. Zon. 5 *ἐπιχειρήσεις* Reiske, *ἐπιχειρήσειν ἐθέλεις* A (k?), *ἐπιχειρήσειν ἐθελήσεις* B. *βλέπων om.* a. 7 *ἂν* e, *ἐὰν* x. *ὑπομενεῖτε ὑμεῖς* g, *καὶ ὑμεῖς ὑπομ.* h, vitium subesse videtur. 8 *ἢ* W, *καὶ* C. 9 *γίνεσθε δέ* hl Alex.

de oratione bene monuit L. Spengel Münch. Gel. Anz. 1858 p. 387. 389 n.

*τοῖς δραπέταις ποσί*] *Δραπέτης* quod plerumque substantive ponitur, hoc loco adiective positum est. Nam, ut vere monet Brunckius ad Soph. Oed. Tyr. 81 (*τύχῃ σωτῆρ*), substantivi pro adiectivo positi exempla passim obvia, nec apud poetas solum sed etiam apud prosae scriptores. Bremi. Cf. etiam Lobeck ad Soph. Aiac. 323. Wunder ad Philoct. 1443. Prorsus simile est Eurip. Orest. 1506: *δραπέτην γὰρ ἐξέκλεπτον ἐκ δόμων πόδα.* Plat. Menon. 97 e: *ὥσπερ δραπέτην ἄνθρωπον.* Inde apparet ut Latinorum fugitivus sic Graecorum *δραπέτης* proprie et principio adiectivum fuisse. Cf. Din. I 82.

*λελοιπόσι τὴν τάξιν*] Plut. Dem. 20: *ἐν δὲ τῇ μάχῃ καλὸν οὐδὲν οὐδ' ὁμολογούμενον ἔργον οἷς εἶπεν ἀποδειξάμενος ᾤχετο λιπὼν τὴν τάξιν ἀποδρὰς αἴσχιστα καὶ τὰ ὅπλα ῥίψας, οὐδὲ τὴν ἐπιγραφὴν τῆς ἀσπίδος, ὡς ἔλεγε Πυθέας, αἰσχυνθεὶς, ἐπιγεγραμμένης γράμμασι χρυσοῖς· Ἀγαθῇ Τύχῃ.* Videlicet in exercitu Demosthenes eundem locum quem nuper Gambetta Gallorum orator obtinuisse videtur.

*οὓς — τὴν ἐκείνων ἀρετήν*] Cf. ad § 128.

*ἐγκωμιάζειν*] Plut. Dem. 21: *ὁ δὲ δῆμος οὐ μόνον τούτων (εὐθυνῶν καὶ γραφῶν) ἀπέλυεν ἀλλὰ καὶ τιμῶν διετέλει καὶ προκαλούμενος αὖθις ὡς εὔνουν εἰς τὴν πολιτείαν, ὥστε καὶ τῶν ὀστέων ἐκ Χαιρωνείας κομισθέντων καὶ θαπτομένων τὸν ἐπὶ τοῖς ἀνδράσιν ἔπαινον εἰπεῖν ἀπέδωκεν, οὐ ταπεινῶς οὐδ' ἀγεννῶς φέρων τὸ συμβεβηκός, ὡς γράφει καὶ τραγῳδεῖ Θεόπομπος, ἀλλὰ τῷ τιμᾶν μάλιστα καὶ κοσμεῖν τὸν σύμβουλον ἀποδεικνύμενος τὸ μὴ μεταμέλεσθαι τοῖς βεβουλευμένοις.*

*ἀχρηστότατε — θαυμασιώτατε*] *Ὁμοιόπτωτον*, cf. Alex. III 36 (Sp.), Zon. III 169, Anonym. III 186.

*ἐπιχειρήσεις λέγειν*] Veteres grammatici usum haud ita frequentem huius verbi enarrabant supra versum adscribendo vel *ἐθελήσεις* vel *τολμήσεις*. Significat autem *ἐπιχειρεῖν* cum infinitivo coniunctum magna cum audacia vel inpudentia aliquid suscipere, cf. Aristoph. Ran. 80: *κἄλλως ὁ μέν γ' Εὐριπίδης πανοῦργος ὢν κἂν ξυναποδρᾶναι δεῦρ' ἐπιχειρήσειέ μοι.*

§ 153. *γένεσθε τὴν διάνοιαν*] Cf. I 179: *ἐπειδὰν δ' ἀπὸ τῆς*

διάνοιαν μὴ ἐν τῷ δικαστηρίῳ ἀλλ' ἐν τῷ θεάτρῳ, καὶ νομίσαθ' ὁρᾶν προϊόντα τὸν κήρυκα καὶ τὴν ἐκ τοῦ ψηφίσματος ἀνάρρησιν μέλλουσαν γίγνεσθαι, καὶ λογίσασθε πότερ' οἴεσθε τοὺς οἰκείους τῶν τελευτησάντων πλείω δάκρυα ἀφήσειν ἐπὶ ταῖς τραγῳδίαις καὶ τοῖς ἡρωικοῖς πάθεσι τοῖς μετὰ ταῦτ' ἐπεισιοῦσιν ἢ ἐπὶ τῇ
154 τῆς πόλεως ἀγνωμοσύνῃ. τίς γὰρ οὐκ ἂν ἀλγήσειεν ἄνθρωπος Ἕλλην καὶ παιδευθεὶς ἐλευθερίως, ἀναμνησθεὶς ἐν τῷ θεάτρῳ ἐκεῖνό γε, εἰ μηδὲν ἕτερον, ὅτι ταύτῃ ποτὲ τῇ ἡμέρᾳ μελλόντων ὥσπερ νυνὶ τῶν τραγῳδῶν γίγνεσθαι, ὅτ' εὐνομεῖτο μᾶλλον ἡ πόλις καὶ βελτίοσι προστάταις ἐχρῆτο, προελθὼν ὁ κῆρυξ καὶ παραστησάμενος τοὺς ὀρφανοὺς ὧν οἱ πατέρες ἦσαν ἐν τῷ πολέμῳ τετελευτηκότες, νεανίσκους πανοπλίᾳ κεκοσμημένους, ἐκήρυττε τὸ κάλλιστον κήρυγμα καὶ προτρεπτικώτατον πρὸς ἀρετὴν, ὅτι τούσδε τοὺς νεανίσκους ὧν οἱ πατέρες ἐτελεύτησαν ἐν τῷ πολέμῳ ἄνδρες ἀγαθοὶ γενόμενοι, μέχρι μὲν ἥβης ὁ δῆμος ἔθρεψε, νυνὶ δὲ καθοπλίσας τῇδε τῇ πανοπλίᾳ ἀφίησιν ἀγαθῇ τύχῃ τρέπεσθαι ἐπὶ τὰ ἑαυτῶν, καὶ καλεῖ
155 εἰς προεδρίαν. τότε μὲν ταῦτ' ἐκήρυττεν ἀλλ' οὐ νῦν,

3 *γενέσθαι* B. 6 *ἐπιοῦσιν* klh. 8 *ἢ καὶ* B. *ἐλευθερίως* Cob., *ἐλευθέρως* C. 10 *νῦν* elgh. 12 *προελθὼν* k, *παρελθὼν* elh, *προσελθὼν* B. 15 *πρὸς*] *εἰς* gmn, cf. I 191; *diversum est* I 135. III 139. 18 *ἔθρεψε* Cob., *ἔτρεφε* C. *τῇ om.* a. 19 *αὐτῶν* e.

*ἀπολογίας ἀποσπασθῆτε καὶ τὰς ψυχὰς ἐφ' ἑτέρων γένησθε, εἰς λήθην ἐκπεσόντες τῆς κατηγορίας.* Eandem autem sententiam 186 sic conformavit: *προσέλθετε δὴ τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν τὴν ποικίλην*, cf. Stallb. ad Plat. Leg. 683, Thuc. I 139. III 40. De figura quae dicitur *διατύπωσις* (demonstratio) cf. Alex. III 25 (Sp.). Kayser ad Cornif. IV 55, 68. Dem. 19, 65. 18, 168.

*ἀγνωμοσύνῃ*] Contrarium est § 170 *εὐγνωμοσύνη* = consiliorum probitas. Quare illa inprobitas est ex consilii inopia orta = indignitas alicuius rei. Cf. etiam Nauck Soph. Trach. 473.

§ 154. *γίγνεσθαι*] Cf. § 41. 34.

*τοὺς ὀρφανούς*] Thuc. II 46 in funebri laudatione: *καὶ ἔργῳ οἱ θαπτόμενοι τὰ μὲν ἤδη κεκόσμηνται, τὰ δὲ αὐτῶν τοὺς παῖδας τὸ ἀπὸ τοῦδε δημοσίᾳ ἡ πόλις μέχρι ἥβης θρέψει.* Idemque confirmat Plato Menex. 248 c. Solon ap. Diog. Laërt. I 55. Hyp. Ep. perorat. (Stob. Floril. 124, 36): *ὅσοι δὲ παῖδας καταλελοίπασιν, ἡ τῆς πατρίδος εὔνοια ἐπίτροπος αὐτοῖς τῶν παίδων καταστήσεται.*

*ἀγαθῇ τύχῃ*] Cf. ad § 152. Est formula bene ominantis et precantis ut aliquid bene cedat = quod felix faustumque siet, quod bene vertat. Xenoph. Cyr. IV 5, 51. Bremi. Dem. III 18.

*εἰς προεδρίαν*] Promulgat praeco populum adulescentulis principem in theatro locum contribuere ad ludos spectandos. Haec *προεδρία* inter praemia et

ἀλλὰ παραστησάμενος τὸν τῆς ὀρφανίας τοῖς παισὶν αἴτιον τί ποτ' ἀνερεῖ; καὶ γὰρ ἐὰν αὐτὰ διεξίῃ τὰ ἐκ τοῦ ψηφίσματος προστάγματα, ἀλλ' οὐ τό γ' ἐκ τῆς ἀληθείας αἰσχρὸν σιωπηθήσεται ἀλλὰ τἀναντία δόξει τῇ τοῦ κήρυκος φωνῇ φθέγγεσθαι, ὅτι τόνδε τὸν ἄνδρα, εἰ δὴ καὶ οὗτος ἀνήρ, στεφανοῖ ὁ δῆμος ὁ Ἀθηναίων ἀρετῆς ἕνεκα τὸν κάκιστον, ἀνδραγαθίας τὸν ἄνανδρον καὶ λελοιπότα τὴν τάξιν. μὴ πρὸς Διὸς καὶ θεῶν, ὦ ἄνδρες Ἀθηναῖοι, 156 τρόπαιον ἵστατε ἀφ' ὑμῶν αὐτῶν ἐν τῇ τοῦ Διονύσου ὀρχήστρᾳ, μηδ' αἱρεῖτε παρανοίας ἐναντίον τῶν Ἑλλήνων τὸν δῆμον τὸν Ἀθηναίων, μηδ' ὑπομιμνήσκετε τῶν ἀνιάτων καὶ ἀνηκέστων κακῶν τοὺς ταλαιπώρους Θηβαίους, οὓς φυγόντας διὰ τοῦτον ὑποδέδεχθε τῇ πόλει, ὧν ἱερὰ καὶ τείχη καὶ τάφους ἀπώλεσεν ἡ Δημοσθένους δωροδο-

2 ἀνερεῖ n$^2$, ἂν αἱρῇ (ε εἶ) k, ἂν ἐρεῖ x, *post hoc verbum add.* A: ἢ τί ποτε φθέγξεται, B: ἢ τί φθέγξεται, *del.* Cobet. ἐὰν ae, ἂν x. 3 τό τε ἐκ l. 4 σιωπήσεται M. 6 ὁ ἀθ. M, ἀθ. A$^h$, τῶν ἀθ. B. ἀρετῆς ἕνεκα *ante* εἰ δὴ *ponit* n, *om.* a, ἕνεκα *om.* A$^h$. 7 ἀνδραγαθίας W, καὶ (*om.* A$^h$) ἀνδρ. ἕνεκα C. 8 Διὸς Cob., τοῦ Διὸς C. καὶ θεῶν A$^h$, καὶ τῶν ἄλλων θεῶν B. *Add.* A *post* ὦ ἄ. ἀθην., B *ante* ὦ ἀθ. *haec*: ἱκετεύω ὑμᾶς, *del.* Cob. 9 τρόπ. A$^h$, μὴ τρόπ. B. ἀφ' (καθ') gmh. 10 παρανομίας e. 11 τὸν ἀθ. W, τῶν ἀθ. C. ἀνιάτων καὶ *del.* Cob. 13 τούτων ael. ὑποδέδεχε kl, ὑποδέχεσθε mn. 14 τείχη Schultz, τέκνα C.

honores erat, quae civibus et peregrinis bene de republica meritis a populo dabantur. Cf. Schoemann de Com. 335.

§ 155. τί ποτ' ἀνερεῖ] Cf. § 40: ὁ τὴν ἐξουσίαν δεδωκὼς ἀνειπεῖν. Ex antiqua scriptura *ΤΙΠΟΤΑΝΕΡΕΙ* omnium librorum scribae elicuerunt τί ποτ' ἂν ἐρεῖ — hoc videlicet defendit Hartung Part. — unus τί ποτ' ἂν αἱρῇ sed correctum ἐρεῖ, in uno vera lectio ἀνερεῖ reposita est. Vitiosa scriptura τί ποτ' ἂν ἐρεῖ permovit aliquem correctorem ut de suo adderet: ἢ τί φθέγξεται; Antiqua et proba lectio τί ποτ' ἀνερεῖ, i. e. τί ποτε κηρύξει, istius modi additamentum non admittit. Cobet Hyp. Ep. 48. Haec suspicio confirmatur ex scriptura librorum eklh: ἢ τί ποτε φθέγξεται; Accedit quod idem verbum paulo post de renuntiatione ponitur.

ἀλλ' οὐ τό γ' ἐκ τῆς ἀλ. αἰσχρόν] Haec est apodosis, et ἀλλά — γε vim habet affirmativam (= at, at — certe, at — saltem, at — tamen): in quo haesitare non oportebat Wolfium. Est enim frequens iam inde ab Homero. In primis hoc fit, cum protasis incipit ab ἐπειδή, ut paulo post (§ 157). Bremi.

§ 156. ἀφ' ὑμῶν αὐτῶν] Frequentissimus est usus particulae ἀπό, ubi tropaei de populo positi mentio fit, fortasse inde, quod armis tropaea ornari solebant victo hosti detractis. Verum simpliciter quoque dicitur τρόπαιον στῆσαί τινος vel κατά τινος. F. A. Wolf Sept. p. 296.

157 κία καὶ τὸ βασιλικὸν χρυσίον· ἀλλ' ἐπειδὴ τοῖς σώμασιν
οὐ παρεγένεσθε, ἀλλὰ ταῖς γε διανοίαις ἀποβλέψατ' αὐ-
τῶν εἰς τὰς συμφοράς, καὶ νομίσαθ' ὁρᾶν ἁλισκομένην
τὴν πόλιν, τειχῶν κατασκαφάς, ἐμπρήσεις οἰκιῶν, ἀγο-
μένας γυναῖκας καὶ παῖδας εἰς δουλείαν, πρεσβύτας ἀν-
θρώπους, πρεσβύτιδας γυναῖκας, ὀψὲ μεταμανθάνοντας
τὴν ἐλευθερίαν, κλαίοντας, ἱκετεύοντας ὑμᾶς, ὀργιζομέ-
νους οὐ τοῖς τιμωρουμένοις ἀλλὰ τοῖς τούτων αἰτίοις,
ἐπισκήπτοντας μηδενὶ τρόπῳ τὸν τῆς Ἑλλάδος ἀλιτήριον
στεφανοῦν, ἀλλὰ καὶ τὸν δαίμονα καὶ τὴν τύχην τὴν συμ-
158 παρακολουθοῦσαν τῷ ἀνθρώπῳ φυλάξασθαι. οὔτε πόλις
οὔτ' ἰδιώτης οὐδεὶς πώποτε καλῶς ἀπήλλαξε Δημοσθένει
συμβούλῳ χρησάμενος. ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι,
οὐκ αἰσχύνεσθε εἰ ἐπὶ μὲν τοὺς πορθμέας τοὺς εἰς Σα-

4 οἴκων Theon II 63, *idemque add.* ἱερὰ συλώμενα. 11 οὔτε πόλις W, οὔτε γὰρ πόλις A, οὔτε πόλις γὰρ B. 12 ἰδιώτης W, ἀνὴρ ἰδ. A, ἰδ. ἀνήρ B.

τὸ βασιλικὸν χρυσίον] Cf. 239. Plut. Dem. 20: ὁ Περσῶν βασιλεὺς ἔπεμψε τοῖς σατράπαις ἐπὶ θάλασσαν γράμματα, χρήματα Δημοσθένει διδόναι κελεύων καὶ προσέχειν ἐκείνῳ μάλιστα τῶν Ἑλλήνων, ὡς περισπάσαι δυναμένῳ καὶ κατασχεῖν ταῖς Ἑλληνικαῖς ταραχαῖς τὸν Μακεδόνα. Ταῦτα μὲν οὖν ὕστερον ἐφώρασεν Ἀλέξανδρος ἐν Σάρδεσιν ἐπιστολάς τινας ἀνευρὼν τοῦ Δημοσθένους καὶ γράμματα τῶν βασιλέως στρατηγῶν δηλοῦντα τὸ πλῆθος τῶν δοθέντων αὐτῷ χρημάτων. Cf. A. Schaefer III 106 sq.

§ 157. ταῖς γε διανοίαις] Hanc descriptionem et veteres artium scriptores et Romanos oratores inmitatos esse non mirum. Per partes enim ita persequitur oculisque subicit Thebanorum miserias et calamitates, ut rudis etiam ac durus animus conmoveri et misericordia perfundi debeat. Bremi. Muretus Var. Lect. VIII 10 nullum subiectionis exemplum pulchrius reperiri posse putabat. Idemque conparavit Cic. leg. agr. II 53 maximeque Philipp. XI 7. Cf. ad § 153. Veteres grammatici animadverterunt Aeschinem ipsum ante oculos habuisse Hom. *I* 593—594: ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει, τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας.

δαίμονα — τύχην] Cf. § 135. Dem. 18, 270. Nec tamen sola ἀτυχήματα sed etiam ἀδικήματα Demostheni ille obiectare solet. Quare versutius loquitur Dem. 275: Αἰσχίνης τοίνυν τοσοῦτον ὑπερβέβληκεν ἅπαντας ἀνθρώπους ὠμότητι καὶ συκοφαντίᾳ, ὥστε καὶ ὧν αὐτὸς ὡς ἀτυχημάτων ἐμέμνητο, καὶ ταῦτ' ἐμοῦ κατηγορεῖ. Cf. etiam Plut. Dem. 21. Phoc. 16.

§ 158. καλῶς ἀπήλλαξε] Hoc verbum cum adverbio coniunctum de exitu dicitur, quae ad finem fuerit sors. καλῶς ἀπαλλάττειν p r o s p e r a  f o r t u n a  d i s c e d e r e, αἰσχρῶς ἀπαλλάττειν t u r p e m  e x i t u m  h a b e r e. Bremi.

πορθμέας] Legem istam cognoscimus ex hoc loco, quae facile fidem meretur, quoniam nautas Athenis Salamina vehentes cuncta quae cursum in tam propinquum locum periculosum facere poterant novisse et evitare

λαμῖνα πορθμεύοντας νόμον ἔθεσθ', ἐάν τις αὐτῶν ἄκων ἐν τῷ πόρῳ πλοῖον ἀνατρέψῃ, τούτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι, ἵνα μηδεὶς αὐτοσχεδιάζῃ εἰς τὰ τῶν Ἑλλήνων σώματα, τὸν δὲ τὴν Ἑλλάδα καὶ τὴν πόλιν ἄρδην ἀνατετροφότα τοῦτον ἐάσετε πάλιν ἀπευθύνειν τὰ κοινά;

159 Ἵνα δ' εἴπω καὶ περὶ τοῦ τετάρτου καιροῦ καὶ τῶν νυνὶ καθεστηκότων πραγμάτων, ἐκεῖνο ὑμᾶς ὑπομνῆσαι βούλομαι, ὅτι Δημοσθένης οὐ τὴν ἀπὸ στρατοπέδου μόνον τάξιν ἔλιπεν, ἀλλὰ καὶ τὴν ἐκ τῆς πόλεως . . . . τρι-

1 ἔθεσθ' ἐάν W, ἔθεσθε ἄν e, ἔθεσθε ἐάν x. 5 ἀνατετροφότα amnl, ἀνατετραφότα ekg, cf. Andoc. I 131. ἐάσατε mn. ἀπευθύνειν A, ἀ(ε)πευθ. h, ἐπευθ B. 10 *Lacunam primus animadvertit* Reiske.

oportebat, cum distantia locorum tantummodo *διστάδιος* esset. Bremi.

*αὐτοσχεδιάζῃ*] Nomen ex quo hoc verbum derivatur est *σχεδία* i. e. *ναῦς ἀκατασκεύαστος, ἀπὸ ξύλων μόνον ἀπερίττως συντεθειμένη*, Schol. Eur. Hec. 113. Hinc *σχεδιάζειν* tropice et de verbis dicitur, quae temere et subito effunduntur, et de factis, quae neglegenter et inconsulto conficiuntur. Conpositum *αὐτοσχεδιάζειν* neglegentiae et temeritatis vim auget ludibrii notione admixta.

*ἀνατετροφότα*] Hanc formam unice veram, *ἀνατετραφότα* autem librariis relinquendam esse demonstravit L. Dindorf in Thes. Graec. Eademque varietas est I 190. Cf. Andoc. I 131. Din. I 30.

*ἀπευθύνειν*] Soph. Oed. Rex 104: *ἦν ἡμῖν, ὦναξ, Λάϊός ποθ' ἡγεμὼν γῆς τῆσδε, πρὶν σὲ τήνδ' ἀπευθύνειν πόλιν.*

§ 159—167: De quarto temporis spatio quo Demosthenes in republica valebat. Haec crimina, quia ad accusationem parum pertinere viderentur, non persequitur Aeschines accurate sed contumeliae et suspicionis causa breviter conplectitur.

*τὸ βασιλικὸν χρυσίον*] Diod. XVII 4: *πολλὰ γὰρ χρήματά φασιν αὐτὸν εἰληφέναι παρὰ Περσῶν, ἵνα πολιτεύηται κατὰ Μακεδόνων· περὶ ὧν καὶ τὸν Αἰσχίνην φασὶν ὀνειδίζοντα τῷ Δημοσθένει κατά τινα λόγον τὴν δωροδοκίαν εἰπεῖν· νῦν μέντοι τὴν δαπάνην ἐπικέκλυκεν αὐτοῦ τὸ βασιλικὸν χρυσίον, ἔσται δὲ οὐδὲ τοῦτο ἱκανὸν κτλ.*

—*περιεγένετο.* Et verborum collocationem eam, quam Diodorus servaverit, in orationem Aeschinis revocandam esse arbitratur H. Usener Rhein. Mus. XXV 593. Vulgatam tuetur Ioannes Damascenus ap. Stob. Meinek. IV 166.

*τρόπου*] Cur adiectivum *πονηροῦ* ab hac figura alienum esse putem, v. ad § 78. De figura ipsa cf. Cornif. IV § 24: sententia est oratio sumpta de vita, quae aut quid sit aut quid esse oporteat in vita, breviter ostendit. Huiusmodi sententiae simplices non sunt inprobandae, propterea quod habet brevis expositio, si rationis nullius indiget, magnam delectationem. Cf. Dem. Ol. II § 10. Cor. § 120. Rhet. Walz IV 71—72.

§ 174. *δεινὸς λέγειν, κακὸς βιῶναι*] Interrogatione subiecta breviter respondetur cum vehementia et irrisione quadam (*ἀπόκρισις*). Cf. Rhet. Lat. ed. Halm p. 64.

βιῶναι. οὕτω γὰρ κέχρηται καὶ τῷ ἑαυτοῦ σώματι καὶ παιδοποιίᾳ ὥστ' ἐμὲ μὴ βούλεσθαι λέγειν ἃ τούτῳ πέπρακται· ἤδη γάρ ποτε εἶδον μισηθέντας τοὺς τὰ τῶν πλησίον αἰσχρὰ λίαν σαφῶς λέγοντας. ἔπειτα τί συμβαίνει τῇ πόλει; οἱ μὲν λόγοι καλοί, τὰ δ' ἔργα φαῦλα.

175 πρὸς δὲ ἀνδρίαν βραχύς μοι λείπεται λόγος. εἰ μὲν γὰρ ἠρνεῖτο μὴ δειλὸς εἶναι ἢ ὑμεῖς μὴ συνῄδειτε, διατριβὴν ὁ λόγος ἂν μοι παρεῖχεν· ἐπειδὴ δὲ καὶ αὐτὸς ὁμολογεῖ ἐν ταῖς ἐκκλησίαις καὶ ὑμεῖς σύνιστε, λοιπὸν ὑπομνῆσαι τοὺς περὶ τούτων κειμένους νόμους. ὁ γὰρ Σόλων ὁ παλαιὸς νομοθέτης ἐν τοῖς αὐτοῖς ἐπιτιμίοις ᾤετο δεῖν ἐνέχεσθαι τὸν ἀστράτευτον καὶ τὸν λελοιπότα τὴν τάξιν

2 ἐμὲ μὴ Bekk., μή με A[h], μὴ n Nic. Dam., με μὴ agm. τούτῳ *om.* n. 3 τῶν *om.* e. 6 εἰ . . λόγος (8) *om.* lh[1]. μὲν . . μὴ] μὴ . . μηδὲ e. 7 συνῄδ. αὐτῷ l. 8 παρεῖχεν A[h], παρέσχεν B.

τῷ σώματι] Cf. II 99: ἐν παισὶ μὲν γὰρ ὢν ἐκλήθη δι' αἰσχρουργίαν τινὰ καὶ κιναιδίαν Βάταλος. Qua de re cf. A. Schaefer I 306 sq. Schol. ad I 126: δοκεῖ δέ μοι λελέχθαι Βάταλος παρὰ τὸ Εὐπόλιδος σκῶμμα· ἐκεῖνος γὰρ τὸ τῶν Βατάλων ὄνομα κεῖσθαι τοῖς αἰσχροῖς καὶ τὸν πρωκτὸν βάταλον ὑπ' αὐτῶν καλεῖσθαι, cf. Meinek. Com. III 32.

παιδοποιίᾳ] Apparet (?) Aeschinem ex obliquo Demostheni obiectare liberorum ex meretriculis procreationem. Bremi. Athen. 592e: Δημοσθένη δὲ τὸν ῥήτορα καὶ τεκνοποιήσασθαι ἐξ ἑταίρας ἔχει λόγος. αὐτὸς γοῦν ἐν τῷ περὶ Χρυσίου λόγῳ προαγήοχε τὰ τέκνα ἐπὶ τὸ δικαστήριον, ὡς δι' ἐκείνων ἔλεον ἕξων, χωρὶς τῆς μητρός, καίτοι ἔθος ἐχόντων τῶν κρινομένων τὰς γυναῖκας ἐπάγεσθαι· ἀλλ' αἰδοῖ τοῦτ' ἐποίησε φεύγων τὴν διαβολήν. ἀκόλαστος δ' ἦν ὁ ῥήτωρ περὶ τὰ ἀφροδίσια, ὥς φησιν Ἰδομενεὺς κτλ.

μισηθέντας] Cf. I 37—38. Cornif. IV § 41: Praecisio (= reticentia, ἀποσιώπησις) est, cum dictis aliquibus relicum quod coeptum est dici relinquitur in cogitatione audientium. Hic atrocior tacita suspitio quam diserta explanatio facti est. Cf. Dem. cor. 3. 195.

§ 175. δειλὸς εἶναι] De turpi Demosthenis ex pugna Chaer. fuga cf. 152. 187. 244. 253. A. Schaefer III 32, 2. Nostra aetate hoc quoque in genere cum Demosthene conparari licet Gambettam.

ἀστράτευτον] Lys. 14, 7: ἡγοῦμαι δ' ὅλῳ τῷ νόμῳ μόνον αὐτὸν τῶν πολιτῶν ἔνοχον εἶναι· ἀστρατείας μὲν γὰρ δικαίως ἂν αὐτὸν ἁλῶναι, ὅτι ὁπλίτης καταλεγεὶς οὐ παρῆν, λιποταξίου δέ, ὅτι οὐκ ἐξῆλθε μεθ' ὑμῶν στρατοπεδευσόμενος οὐδὲ παρέσχε μετὰ τῶν ἄλλων ἑαυτὸν τάξαι, δειλίας δέ, ὅτι δέον αὐτὸν μετὰ τῶν ὁπλιτῶν κινδυνεύειν ἱππεύειν εἵλετο, cf. Frohberg. Prolegg. Nec tamen haec tria crimina unam eandemque legem conplexam esse arbitror, cf. Stallb. ad Plat. Legg. 943 d. Andoc. I 74. Cf. Meier-Schoemann, Att. Proz. 363 sqq. De Euctemonis accusatione, quod ex Euboica expeditione Dem. sine conmeatu Athenas rediisset, cf. A. Schaefer II 95.

*καὶ τὸν δειλὸν ὁμοίως. καίτοι θαυμάσειεν ἄν τις ὑμῶν,*
*εἰ εἰσὶ φύσεως γραφαί. εἰσίν. τίνος ἕνεκα; ἵν' ἕκαστος*
*ἡμῶν τὰς ἐκ τῶν νόμων ζημίας φοβούμενος μᾶλλον ἢ*
*τοὺς πολεμίους ἀμείνων ἀγωνιστὴς ὑπὲρ τῆς πατρίδος*
*γίγνηται. ὁ μὲν τοίνυν νομοθέτης τὸν ἀστράτευτον καὶ* 176
*τὸν δειλον καὶ τὸν λιπόντα τὴν τάξιν ἔξω τῶν περιρραν-*
*τηρίων τῆς ἀγορᾶς ἐξείργει· οὐκ οὖν ἐᾷ στεφανοῦσθαι*
*οὐδ' εἰσιέναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ· σὺ δὲ τὸν ἀστε-*
*φάνωτον ἐκ τῶν νόμων κελεύεις ἡμᾶς στεφανοῦν, καὶ τῷ*
*σαυτοῦ ψηφίσματι τὸν οὐ προσήκοντα εἰσκαλεῖς τοῖς τρα-*
*γῳδοῖς εἰς τὴν ὀρχήστραν, εἰς τὸ ἱερὸν τοῦ Διονύσου*
*τὸν τὰ ἱερὰ διὰ δειλίαν προδεδωκότα.*

*Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἐκεῖνο μέμνησθε ὅταν φῇ δημοτικὸς εἶναι· θεωρεῖτ' αὐτοῦ μὴ τὸν λόγον ἀλλὰ τὸν βίον, καὶ σκοπεῖτε μὴ τίς φησιν εἶναι ἀλλὰ τίς ἐστιν.*

*Ἐπεὶ δὲ στεφάνων ἀνεμνήσθην καὶ δωρεῶν, ἕως ἔτι* 177

1 *ὁμοίως*] *add.* C: *εἰσὶ γὰρ* (*δὲ* el) *καὶ* (*om.* l) *δειλίας γραφαί*, *del.* Bake. *καίτοι . . . γραφαί om.* A. 3 *ὑμῶν* B. 5 *γίγνηται* A^h, *ὑπάρχοι* a, *ὑπάρχῃ* gmnM. 7 *οὐκ οὖν* W, *οὐκ* e, *καὶ οὐκ* x. 8 *τὰ om.* l. 9 *ὑμᾶς* l. 10 *σαυτοῦ* *ἑαυτῷ* h, *ἑαυτοῦ* A. *τὸν om.* A^h. 17 *δὴ* l. *ἕως ἂν* elh.

§ 176. *περιρραντηρίων*] Schol.: *οἱ γὰρ ἄτιμοι ἐξείργονται ἱερῶν ἐκκλησίας τοῦ δημηγορεῖν καὶ τῶν τοιούτων. περιρραντήρια δέ ἐστιν οἷον τὰ ὕδατα τὰ πρὸ τῶν ἱερῶν, ἐν οἷς περιρραίνονται οἱ μέλλοντες εἰσιέναι τοῖς ἱεροῖς πρὸ τοῦ εὔξασθαι. τὰ δὲ τῆς ἐκκλησίας περ. ἦν τὰ καθάρσια τὰ ἀπὸ τοῦ περιστιάρχου γενόμενα.* Cf. Schoem. de Com. 91—92. Antiq. 221. Aesch. I 29. Lys. 10, 1. Isocr. 8, 143. Dem. 15, 32. 24, 103. 59, 27.

*οὐκ ουν*] Vitiosum est *οὐκ ἐᾷ*, quia contrariarum nulla est sententiarum elatio, cf. Sauppe ad Dem. Phil. I 14; vitiosius est *καὶ οὐκ ἐᾷ*, quia nec opposita per negationem inferuntur nec ictus in negationem cadit.

*δημοτελῆ*] Bekk. Anecd. I 240: *τὰ μὲν δημοτελῆ θύματα ἡ πόλις δίδωσιν, εἰς δὲ τὰ δημοτικὰ οἱ δημόται.*

*τὸν οὐ προσήκοντα*] Quemadmodum *ἡ προσήκουσα τιμωρία* poena est legibus constituta sic *τὸν οὐ προσήκοντα* designat eum, cui in orchestram prodire interdictum est capite deminuto.

§ 177—190: Digressio apparationis et amplificationis causa. Nam cum Demosthenem pro ipsius vitae victusque ratione indignum esse demonstraverit, qui amplissimis exornetur honoribus et praemiis, nunc et veterum in republica principum modestiam virtutem honestatem et reipublicae in praemiis honoribusque laudabilem parsimoniam percurrit, ut cum tanta virtute ac simplicitate conparata Demosthenis in republica opera multo etiam minus tam insigni honore digna videatur. Cf. Cic. de Or. II § 108—109.

§ 177. *ἕως ἔτι μέμνημαι*] Hoc orator addit, ne quae explicatu-

μέμνημαι, προλέγω ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὴ καταλύσετε τὰς ἀφθόνους δωρεὰς καὶ τοὺς εἰκῇ διδομένους στεφάνους, οὔθ' οἱ τιμώμενοι χάριν ὑμῖν εἴσονται οὔτε τὰ τῆς πόλεως πράγματά ποτ' ἐπανορθωθήσεται. ὅτι δ' ἀληθῆ λέγω, μεγάλα τούτων οἶμαι σημεῖα δείξειν ὑμῖν.
178 εἰ γάρ τις ὑμᾶς ἐρωτήσειε πότερον ὑμῖν ἐνδοξοτέρα δοκεῖ ἡ πόλις ἡμῶν εἶναι ἐπὶ τῶν νυνὶ καιρῶν ἢ ἐπὶ τῶν προγόνων, ἅπαντες ἂν ὁμολογήσαιτε ὅτι ἐπὶ τῶν προγό-

1 ὦ *add.* A[h]. 2 δωρεὰς W, δωρεὰς ταύτας a, ταύτας δωρ. x. 4 ποτ' ἐπανορθ. W, ἐπανορθ. Be, οὐδέποτ' ἐπανορθ. kl, οὐδέποτ' ἐπανορθώσετε h. Cf. adn. 7 ἡ πόλις ἡμῶν Be, ἡ πόλις ὑμῶν k, ἡ πόλις δοκεῖ l, ἡ πόλις M. 8 ἅπαντες . . προγόνων *om.* n. ὁμολογήσετε l, ὁμολογήσοιτε h, ὁμολογήσητε agm. ὅτι *add.* h.

rus sit multo ante excogitata ac parata videantur. Cf. Cic. p. Sest. § 96: rem quaeris praeclaram iuventuti ad discendum nec mihi difficilem ad perdocendum.

δωρεάς] Hac voce proprie publica praemia in unum aliquem hominem conlata designantur, cf. Frohb. Lys. vol. III 173. Quodsi apud Xen. Hell. II 3, 8 legitur: πλὴν δώδεκα καὶ στεφάνους, οὓς παρὰ τῶν πόλεων ἐλάμβανε δῶρα ἰδίᾳ, nescio an corrigendum sit: οὓς παρὰ τῶν πόλεων ἔλαβε δωρεὰς ἰδίᾳ.

ἐπανορθωθήσεται] Post hoc verbum in libris mscr. haec sententia legitur: τοὺς μὲν γὰρ πονηροὺς οὐ μή ποτε βελτίους ποιήσετε, τοὺς δὲ χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυμίαν ἐμβαλεῖτε, nisi quod in A abest et γὰρ et μή ποτε, illud etiam in B praeter a. Hanc sententiam ab hoc loco prorsus alienam esse existimo. Nam illud modo iudicaverat Aeschines: si honores praemiaque publica porro etiam effunderentur, brevi futurum ut neque honores qui consequerentur gratiam populo haberent neque salus publica et status civitatis augeretur. Hoc igitur ut conprobaret argumentis Aeschines sumpsit. Atque hanc rationem iniit ab his verbis: ὅτι δ' ἀληθῆ λέγω κτλ. Quid igitur sibi vult sententia illa subito interiecta et tamquam extrinsecus inlata? Nam neque pravos homines meliores evasuros et bonos viros in sollicitudinem quandam venturos et confusionem, hoc certe nihil pertinet ad eam quae praemissa est sententiam. Accedit quod hoc ipsum et bene cogitatum et apte conlocatum habemus paulo infra § 180: ἐὰν δὲ τῷ βουλομένῳ καὶ τοῖς διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς φύσεις διαφθερεῖτε. Quae cum ita sint, hanc sententiolam aut ab grammatico quodam fictam aut ex alieno scripto huc inlatam esse arbitror.

σημεῖα] Cic. Inv. I § 47: omne autem probabile, quod sumitur ad argumentationem, aut signum est (= σημεῖον) aut credibile aut iudicatum aut conparabile. Signum est quod sub sensum aliquem cadit et quiddam significat, quod ex ipso profectum videtur, quod aut ante fuerit aut in ipso negotio aut post sit consecutum. Cf. Anax. 12 ibique Speng. et Ernest. Lex. Technol. Graec. s. v. σημεῖον. Hoc autem loco re vera Aeschines non signis sed exemplis utitur, i. e. rerum gestarum auctoritate.

§ 178. ἐπὶ τῶν προγόνων] Illa enim aetate Athenienses inperio maritimo praevalebant.

*νων. ἄνδρες δὲ πότερον τότε ἀμείνους ἦσαν ἢ νυνί; τότε μὲν διαφέροντες, νυνὶ δὲ πολλῷ καταδεέστεροι. δωρεαὶ δὲ καὶ στέφανοι καὶ κηρύγματα καὶ σιτήσεις ἐν πρυτανείῳ πότερον τότε πλείους ἢ νυνί; τότε μὲν ἦν σπάνια τὰ τοιαῦτα παρ' ὑμῖν καὶ τὸ τῆς ἀρετῆς ὄνομα τίμιον· νυνὶ δ' ἤδη καταπέπλυται τὸ πρᾶγμα, καὶ τὸ*
*στεφανοῦν ἐξ ἔθους ἀλλ' οὐκ ἐκ προνοίας ποιεῖσθε. οὐκ* 179
*οὖν ἄτοπον οὑτωσὶ διαλογιζομένοις τὰς μὲν δωρεὰς νυνὶ πλείους εἶναι, τὰ δὲ πράγματα τῆς πόλεως τότε μᾶλλον ἰσχύειν, καὶ τοὺς ἄνδρας νῦν μὲν χείρους εἶναι, τότε δ' ἀμείνους; ἐγὼ τοῦθ' ὑμᾶς ἐπιχειρήσω διδάσκειν. οἴεσθ' ἄν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἐθελῆσαί τινα ἐπασκεῖν εἰς τὰ Ὀλύμπια ἢ εἰς ἄλλον τινὰ τῶν στεφανιτῶν ἀγώνων παγκράτιον ἢ καὶ ἄλλο τι τῶν βαρυτέρων ἄθλων, εἰ ὁ στέ-*

1 *νῦν* A. 2 *νῦν* A. 3 *σιτίσεις* a. 4 *πλείους* W, *πλείους ἦσαν* e, *ἦσαν πλ.* x. *τοῦτο μὲν* l. 5 *τοιαῦτα* W, *καλὰ* C, *ἆθλα* Markl. *ὑμῖν* W, *ἡμῖν* C. 6 *νυνὶ* ekh, *νῦν* Bl. *καταλέλυται* a, *καταπεπάτηται* h. 7 *οὐκ om.* l. 8 *οὕτως ιδία λογιζ.* klh. *νυνὶ* k, *νῦν* x, *om.* el. 9 *μᾶλλον ἢ νῦν* B. 11 *ἐγὼ* A[h], *ἐγὼ δὲ* B. 12 *ἂν om.* B. 13 *ἢ εἰς* B, *ἢ* A[h], *fort. rectius.*

*δωρεαὶ δέ*] Nep. Milt. 6: ut enim populi Romani honores quondam fuerunt rari et tenues ob eamque causam gloriosi, nunc autem effusi atque obsoleti, sic olim apud Athenienses fuisse reperimus.

*τὰ τοιαῦτα*] i. e. *οἱ στέφανοι, αἱ στήσεις καὶ αἱ ἄλλαι τιμαί.* Schol. Cum enim *τὰ τοιαῦτα* depravatum esset in *τὰ ταῦτα*, facile hinc potuit nasci *τὰ καλά*. Illud quidem dicere non potuit Aeschines *τὰ καλά* i. e. honesta studia rara tum fuisse.

*καταπέπλυται*] = res obsoleta et contempta est. Recte enim Schol.: *καταπλύνειν = λοιδορεῖν, ὑβρίζειν, καταφρονεῖν, ἀτιμάζειν.* Pollux VII 38: *ἀφ' οὗ καὶ τὸ λοιδορεῖν πλύνειν, καὶ „πλυνόν με ποιεῖς" ἡ κωμῳδία φησίν* (Aristoph. Pl. 1062), *ἤγουν ἐξονειδίζεις καὶ αἰσχύνεις· καὶ τὸ οὐδενὸς ἄξιόν τι ἀποπεφάνθαι καταπεπλύσθαι ὁ ῥήτωρ ἔφη Αἰσχίνης.* Huc pertinet Menandri frg. (Meineke p. 221):

*ἐὰν κακῶς μου τὴν γυναῖχ' οὕτω λέγῃς,*
*τὸν πατέρα καὶ σὲ τούς τε σοὺς ἐγὼ πλυνῶ.*

Ut nostrates dicunt: einem den Kopf waschen. Aristoph. Ach. 381: *εἰσελκύσας γάρ μ' εἰς τὸ βουλευτήριον, διέβαλλε καὶ ψευδῆ κατεγλώττιζέ μου κἀκυκλοβόρει κἄπλυνεν*, ubi Schol.: *ἐνταῦθα κατέμιξε τὴν κωμῳδιακὴν χάριν καὶ τὰ δικαστικὰ ῥήματα. τὸ μὲν γὰρ διαβάλλειν καὶ λέγειν ψευδῆ καὶ πλύνειν* (?) *εἴποι τις ἂν τῶν περὶ τὰ δικαστήρια ταῦτα λέγειν δεινῶν. τὸ τὲ κυκλοβορεῖν καὶ καταγλωττίζειν χαριεντίσματά ἐστι κωμῳδίας.*

§ 179. *παγκράτιον*] Quint. II 8, 13: sicut ille exercendi corpora peritus non, si docendum pancratiasten susceperit, pugno ferire vel calce tantum aut nexus modo atque in iis certos aliquos docebit, sed omnia, quae sunt eius certaminis. De re ipsa cf. Schoemann Alterth. II 52. Schol.: *ἕνα*

φανος ἐδίδοτο μὴ τῷ κρατίστῳ ἀλλὰ τῷ διαπραξαμένῳ;
180 οὐδ' εἷς ἄν ποτ' ἠθέλησεν. νῦν δ' οἶμαι διὰ τὸ σπάνιον καὶ περιμάχητον καὶ καλὸν καὶ ἀείμνηστον εἶναι τὸ νικῆσαι θέλουσί τινες τὰ σώματα παρακαταθέμενοι καὶ τὰς μεγίστας ταλαιπωρίας ὑπομείναντες διακινδυνεύειν. ὑπολάβετε τοίνυν ὑμᾶς αὐτοὺς εἶναι ἀγωνοθέτας πολιτικῆς ἀρετῆς, κἀκεῖν' ἐκλογίσασθε, ὅτι ἐὰν μὲν τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους διδῶτε, πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς, ἐὰν δὲ τῷ βουλομένῳ καὶ τοῖς διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς
181 φύσεις διαφθερεῖτε. ὅτι δὲ ὀρθῶς λέγω, ἔτι μικρῷ σαφέστερον ὑμᾶς βούλομαι διδάξαι. πότερον ὑμῖν ἀμείνων ἀνὴρ εἶναι δοκεῖ Θεμιστοκλῆς ὁ στρατηγήσας, [ὅτ' ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ τὸν Πέρσην ἐνικᾶτε,] ἢ Δη-

2 οὐδ' εἷς W, οὐδείς C. ἠθέλησεν W, ἠθέλησεν ἐπασκεῖν C. οἶμαι *om.* A$^h$. 3 *ante* περιμ. *add.* τὸ B, *om.* A$^h$. *ante* καλὸν *add.* τὸ Bek, *om.* hl, *ante* ἀείμνηστ. *add.* C: τὸ, *del.* W. εἶναι τὸ νικῆσαι W, ἐκ τῆς νίκης C. 4 ἐθέλ. C. 6 εἶναι *om.* lh. 7 κἀκεῖν' ἐκλογ. W, κἀκεῖνο λογ. A$^2$, κἀκεῖνο ἐκλογ. B. Stob. *ΜΓ* 87. μὲν *om.* A$^h$. 8 καὶ *ante* κατὰ *om.* Stob. 12 βουλ. ὑμᾶς n. 14 περὶ] παρὰ gmn. σαλαμῖνι B, ὅτ' ἐν τῇ Σαλαμῖνι ναυμαχίᾳ Franke, *ego corruptum locum intactum reliqui.* νενικήκατε A$^h$.

λέγει τῶν τεσσάρων (sc. ἀγώνων), ἐπειδὴ καὶ ἄλλοι εἰσὶν ἀγῶνες, ἔνθα οὐ στέφανοι παρέχονται εἰς τιμήν, ἀλλ' ἄλλα τινὰ οἷον ἄργυρος, χλανίδες ἤ τι τοιοῦτον, ὡς ἔγνωμεν ἐν τοῖς Πινδαρικοῖς. τῷ διαπραξαμένῳ δὲ οἷον τῷ σκουδάσαντι ἑαυτῷ ὥστε στεφανωθῆναι, διὰ τοῦ διαφθεῖραι χρήμασι τοὺς Ἑλλανοδίκας. τινὲς δέ φασι τῷ ἁπλῶς ἀθλεύσαντι ἀλλὰ μὴ νικήσαντι. Quarum rationum utra verior sit, facile ex natura et vi verbi διαπράττεσθαι apparet.

§ 180. ἀγωνοθέτας] Moeris 191,4: ἀθλοθέτης Ἀττικοί, ἀγωνοθέτης Ἕλληνες. Thom. Mag. 19: ἀθλ. κρεῖττον ἢ ἀγωνοθ. Phot. Lex. 8: ἀγωνοθ. ὁ ἐν τοῖς σκηνικοῖς· ἀθλοθέτης δὲ ὁ ἐν τοῖς γυμνικοῖς. Et profecto hoc loco Aeschines recordationem iudicum ad memoriam certaminum theatralium excitare videtur. Nam athlothetarum munera describit Pollux VIII 93: ἀθλοθέται δέκα μέν εἰσιν, εἷς κατὰ φυλήν, δοκιμασθέντες δὲ ἄρχουσιν ἔτη τέτταρα ἐπὶ τῷ διαθεῖναι τὰ Παναθήναια, τόν τε μουσικὸν καὶ τὸν γυμνικὸν καὶ τὴν ἱπποδρομίαν. Cf. etiam Boeckh Staatsh. I 303.

ἐκλογίσασθε] I 64: ἐκλογισάμενος ὅστις ὧν πρὸς οὕστινας ἐπολέμει. Dem. Mid. 160: ἐκλογιζομένοις καὶ θεωροῦσιν. Vitium in A ortum videtur ex scriptura: ΚΑΚΕΙΝΕΓΛΟΓ.

§ 181. ὅτ' — ἐνικᾶτε] Quid ita non simpliciter Aeschines hanc sententiam hunc in modum elocutus est: ὁ στρατηγήσας ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ? Gloriam nimirum totius populi et honoris studium titillare videtur. Sed cur non idem secutus est in Miltiadis virtute conmemoranda? Accedit quod membrorum aequabilitas perturbata et eversa videtur. An scripserat Aeschines: Θεμιστοκλῆς ὁ στρατηγήσας ποτ' ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ

μοσθένης ὁ [νυνὶ] την τάξιν λιπών; Μιλτιάδης δὲ ὁ τὴν ἐν Μαραθῶνι μάχην νικήσας; [ἔτι δ' οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες;] Ἀριστείδης δ' ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν Δημοσθένει; ἀλλ' ἔγωγε μὰ 182 τοὺς θεοὺς τοὺς Ὀλυμπίους οὐδ' ἐν ταῖς αὐταῖς ἡμέραις ἄξιον ἡγοῦμαι μεμνῆσθαι τοῦ θηρίου τούτου κἀκείνων τῶν ἀνδρῶν. ἐπιδειξάτω τοίνυν Δημοσθένης ἐν τῷ αὑτοῦ λόγῳ, εἴ που γέγραπταί τινα τούτων τῶν ἀνδρῶν στεφανῶσαι. ἀχάριστος ἄρ' ἦν ὁ δῆμος; οὔκ, ἀλλὰ μεγαλόφρων, κἀκεῖνοί γε τῆς πόλεως ἄξιοι· οὐ γὰρ ᾤοντο δεῖν ἐν τοῖς γράμμασι τιμᾶσθαι ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ πεπονθότων, ἣ ἀπ' ἐκείνου τοῦ χρόνου μέχρι τῆσδε τῆς ἡμέρας ἀθάνατος οὖσα διαμένει. δωρεὰς δὲ τίνας ἐλάμβανον; ὧν ἄξιόν ἐστι μνησθῆναι.

1 *νυνὶ* el, *νῦν* k, *om.* B. 2 *νικήσας* W, *νικ. τοὺς βαρβάρους* A^h^, *τοὺς βαρβ. νικ.* B. *Add.* C: *ἢ οὗτος*, *del.* W. *ἔτι — καταγαγ.* *del.* Markl., cf. § 187. *φεύγοντες* A^h^. 3 *Ἀριστείδης δ'* W, *Ἀριστ. δ' ὁ δίκαιος ἐπικαλούμενος* A, *Ἀριστ. δ' ὁ δίκαιος* B. 6 *ἡγοῦμαι εἶναι* ekh. *κἀκείνων* e, *καὶ ἐκ.* x. 7 *ἑαυτοῦ* ekh, *αὐτῷ* m. 8 *τῶν ἀνδρ. τούτων* B, *fort. τῶν ἀνδρῶν emblema est.* 10 *κἀκεῖνό* B. *post γε add.* C: *οἱ* (*εἰ* a) *μὴ* (*μὲν* n) *τετιμημένοι*, *del.* Ham.

*ἢ Δημοσθένης ὁ νυνὶ τὴν τάξιν λιπών*? Nam ut contrariorum ratio efferatur, adverbio temporali *νυνὶ* oratio carere non potest. Eademque causa est, cur paulo post *ἢ οὗτος* stare non possit.

*ὁ τὴν ἀνόμοιον κτλ.*] Cf. I 25: *καὶ ὁ Ἀριστείδης ὁ τὴν ἀνόμοιον ἐπωνυμίαν ἔχων Τιμάρχῳ τουτῳΐ*, ubi item grammaticorum industria addidit: *ὁ δίκαιος ἐπικαλούμενος*. Atque etiam II 23 emendandum videtur: *ὁ δ' οὐδὲν ἔχων ἄπρατον μέρος τοῦ σώματος, ὡς ὢν Ἀριστείδης ὁ τοὺς φόρους τάξας τοῖς Ἕλλησι, δυσχεραίνει καὶ καταπτύει δωροδοκίας*. Turpes autem titulos Demosthenis pro aetatibus ac studiis varios enumeravit Aeschines II 99.

§ 182. *ἐν ταῖς αὐταῖς ἡμέραις*] Hoc parum mihi conmodum videtur.

*τοῦ θηρίου*] Hoc quidem iam Cicero mirabatur (Orat. § 26), quod Aeschines Demosthenem *θηρίον* i. e. beluam appellaret. Sed haec vox saepenumero etiam in aliis iisque privatis causis occurrit, cf. Dem. 34, 52: *καὶ μὴ ἐπιτρέπητε ἀδικεῖσθαι ὑπὸ τῶν τοιούτων θηρίων*. 35, 8: *οὐδὲν ᾔδει οἵοις θηρίοις ἐπλησίαζε τοῖς ἀνθρώποις τούτοις*. 24, 163. 25, 8. Ex his locis elucet beluam non tam consceleratum hominem et inmanem appellari quam fraudulentum, versutum, denique veteratorem. Atque in disceptatione iudiciaria haec vox non inaudita et satis trita erat.

*ὧν ἄξιον κτλ.*] Post Bakium Cobetus etiam (Hyp. 36) *ὧν* eiciendum statuit hoc Hyperidis (Epit. v. 181) exemplum secutus: *ἐν ᾅδου δὲ λογίσασθαι ἄξιον τίνες οἱ τὸν ἡγεμόνα δεξιωσόμενοι τὸν τούτων*. At Aeschinem consulto vocem remittere voluisse credo. Quod ni ita esset, scripturum fuisse existimo: *δωρεὰς δὲ ἄξιόν ἐστι μνησθῆναι τίνας ἐλάμβανον*. Accedit quod interro-

183 Ἠσάν τινες, ὦ ἄνδρες Ἀθηναῖοι, κατὰ τοὺς τότε καιρούς, οἳ πολὺν πόνον ὑπομείναντες καὶ μεγάλους κινδύνους ἐπὶ τῷ Στρυμόνι ποταμῷ ἐνίκων μαχόμενοι Μήδους· οὗτοι δεῦρο ἀφικόμενοι τὸν δῆμον ᾔτησαν δωρεάν· ἔδωκεν αὐτοῖς ὁ δῆμος τιμὰς μεγάλας, ὡς τότ' ἐδόκει, τρεῖς λιθίνους Ἑρμᾶς στῆσαι ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν, ἐφ' ᾧτε μὴ ἐπιγράφειν τὰ ὀνόματα τὰ ἑαυτῶν, ἵνα μὴ τῶν στρατηγῶν ἀλλὰ τοῦ δήμου δοκῇ εἶναι τὸ ἐπίγραμμα.
184 ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν ποιημάτων γνώσεσθε. ἐπιγέγραπται γὰρ ἐπὶ τῷ μὲν πρώτῳ τῶν Ἑρμῶν

1 ἦσαν δέ gmn. ὦ ἄ. Ἀ. *add.* $A^h$. 2 πόνον ὑπομ. χρόνον B. 3 ἐν τῷ gmn. 4 ἔδωκ. $A^h$, καὶ ἔδωκ. B. 6 τῇ τῶν B, τῶν A. ἔφη τε gmn, ἔφην τε a. 7 τὸ ὄνομα τὸ $A^h$. 9 γνώσεσθε $A^h$, εἴσεσθε B. 10 γὰρ *om.* klh. ἐν lh. τῷ μὲν amn, μὲν τῷ x.

gationibus responsiones subicere amat.

§ 183. τοὺς τότε καιρούς] i. e. illa aetate qua populus magnanimitate et excelsitate cum primoribus viris certabat. Tempus autem ipsum deinceps definitur.

ἐπὶ τῷ Στρυμόνι] Cimonis in Thraciam expeditio, cf. Thuc. I 98. Plut. Cim. 7: πρῶτον μὲν οὖν αὐτοὺς μάχῃ τοὺς Πέρσας ἐνίκησε καὶ κατέκλεισεν εἰς τὴν πόλιν (i. e. Ἠϊόνα), ἔπειτα τοὺς ὑπὲρ Στρυμόνα Θρᾷκας, ὅθεν αὐτοῖς ἐφοίτα σῖτος, ἀναστάτους ποιῶν εἰς τοσαύτην ἀπορίαν τοὺς πολιορκουμένους κατέστησεν, ὥστε πῦρ ἐνεῖναι . . καὶ συνδιαφθεῖραι μετὰ τῶν χρημάτων ἑαυτούς. Et quantos ibi labores toleraverint Athenienses, cognoscitur ex Herod. VII 107. Diod. Sic. XI 60 sqq.

ἔδωκεν] Asyndeton satis frequens, cf. Dem. 24, 11: μετὰ ταῦτ' ἐμήνυσεν Εὐκτήμων ἔχειν Ἀρχέβιον χρήματα. προσῆλθε τῇ βουλῇ, προβούλευμ' ἐγράφη. 24, 12: τότε ἀνέμνησεν ὑμᾶς, τοὺς νόμους ἀνέγνω. 24, 13: — γράφονται τὸ ψήφισμα.

ὡς τότ' ἐδόκει] Conparasse iuvat Dem. Lept. 91: ἔστι τοίνυν τις πρόχειρος λόγος, ὡς ἄρα καὶ παρ' ἡμῖν ἐπὶ τῶν προγόνων πολλὰ ἀγαθὰ εἰργασμένοι τινὲς οὐδενὸς ἠξιοῦντο τοιούτου, ἀλλ' ἀγαπητῶς ἐπιγράμματος ἐν τοῖς Ἑρμαῖς ἐτύγχανον· καὶ ἴσως τοιοῦτον ὑμῖν ἀναγνώσεταί τι ἐπίγραμμα.

στοᾷ τῇ τῶν Ἑρμῶν] Harp. 86: ὅτι δὲ καὶ Ἑρμῶν στοά τις ἐλέγετο, δεδήλωκε καὶ Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. Sic enim docte emendavit hunc locum Sluiterus, cf. Sauppe frgm. Antiph. 39.

μὴ ἐπιγράφειν] Corn. Nep. Paus. 1: primum in eo est reprehensus, cum ex praeda tripodem aureum Delphis posuisset epigrammate inscripto, in quo haec erat sententia: suo ductu barbaros apud Plataeas esse deletos eiusque victoriae ergo Apollini donum dedisse. Hos versus Lacedaemonii exsculpserunt neque aliud scripserunt quam nomina earum civitatum, quarum auxilio Persae erant victi.

§ 184—185. τῷ πρώτῳ τῶν Ἑρμῶν] Verum epigrammatum ordinem primus probabiliter restituit E. A. Richter in Iahnii Annal. 93, 30—34. Etenim in libris mscr. cum Aeschinis tum Plutarchi (Cim. 7) haec epigrammata hoc ordine se excipiunt: quod primum nunc locum tenet, tertiam ibi sedem habuit, quod nunc alterum, tum primum fuit, tertium denique in secundo olim loco habebatur (1 = III, 2 = I,

*ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς*
*ἡγεῖτο ζάθεον Τρωικὸν ἂμ πεδίον,*
*ὅν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα χαλκοχιτώνων*
*κοσμητῆρα μάχης ἔξοχον ἄνδρα μολεῖν.*
*[οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι*
*κοσμητὰς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.]*

*ἐπὶ δὲ τῷ δευτέρῳ*

*ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων*
*παισὶν ἐπ' Ἠϊόνι, Στρυμόνος ἀμφὶ ῥοάς,*
*λιμόν τ' αἴθωνα κρατερόν τ' ἐπάγοντες Ἄρηα*
*πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.*

1 *πόλεως* gm. *ἀτρείδαισι* e, *ἀτρείδεσι* 1, *ἀτρείδεσσι* h. 2 *ἐς πεδίον* klh. 3 *ποθ'*] *περ* a. *χαλκοχ.*] *περφρονεόντων* a. 4 *κοσμήτορα* B. 6 *τ'* *om.* $A^h$. 8 *ἦσαν* $A^h$, cf. Bekk. Anecd. III 1293. Herodian. II 950. II 45. 786. 10 *καρτερὸν* e. 11 *τεῦκρον* F.

3 = II). Videlicet haec carmina non Aeschines ipse sed multo post grammaticorum sedulitas in orationem inseruisse videtur, cf. Rosenberg in Iahn. Ann. 1870, 530, Herwerden de Lyc. § 100 in Mnemos. XI 72. De dialecto atque de auctore horum epigrammatum disputavit A. Kirchhoff, Hermes V 48—60.

1—4: Laudes ac virtutes Atheniensium bellicae antiquissimo iam Homeri praeconio celebratae sunt.

*Ὅμηρος ἔφη*] Respicitur ad Il. *B* 552:

*τῶν αὖθ' ἡγεμόνευ' υἱὸς Πετεῶο Μενεσθεύς·*
*τῷ δ' οὔ πώ τις ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνήρ,*
*κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.*

5—6: Hos duos versus a falsario fictos esse arbitror. Primum enim nulla in eis sententia est, quae non melius expressa in versu 7 habeatur. Deinde aequabilitas his versibus epigrammatum evertitur. Illud enim credere non possum in tribus Hermis non parem versuum numerum inscriptum fuisse. Cf. etiam Göttling, Verh. Sächs. Ges. der Wissensch. Phil.-Hist. Kl. 1853 p. 65 sq.

7—10: Ut autem prisci Athenienses virtute sic nostri aequales pariter insignes exstiterunt patientia et constantia.

*ἦν*] Pluralem hunc esse, non singularem numerum, id quod veteres grammatici contenderunt ut Matth. § 216 n. 4, primus demonstravit Göttling Acc. 69, ad Hesiod. Theog. 183. 321: *τῆς δ' ἦν τρεῖς κεφαλαί.* Schneidewin ad Soph. Trach. 520: *ἦν δ' ἀμφίπλεκτοι κλίμακες.* Krueger Gr. II § 63, 3 n. 5.

*ταλακάρδιος*] Hesiod. Scut. Herc. 424: *Διὸς ταλακάρδιος υἱός.* Soph. Oed. Col. 540: *ἐδεξάμην δῶρον ὃ μήποτ' ἐγὼ ταλακάρδιος ἐπωφέλησα πόλεος ἐξελέσθαι.*

*λιμὸν αἴθωνα*] Callim. Cerer. 67: *ἄγριον ἔμβαλε λιμόν, αἴθωνα, κρατερόν.*

*δυσμενέων ἀμηχανίην*] Schol.: *πρῶτοι· οὐχ ἡττηθέντες γὰρ ἀλλὰ κρατήσαντες ἀπέστρεψαν αὐτῶν τὰς μηχανάς,* alii: *ἀντὶ τοῦ ἀμηχανίαν ἐνέβαλον τοῖς πολεμίοις.* Iacobs: primi omnium viam et rationem invenerunt, qua hostes in consilii inopiam conicerent. Atque *εὑρίσκειν* cum dativo personae non modo in bonam sed etiam in contrariam

185 ἐπὶ δὲ τῷ τρίτῳ ἐπιγέγραπται Ἑρμῇ
ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν
ἀντ' εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.
μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
ἀμφὶ ξυνοῖσι πράγμασι μόχθον ἔχειν.

ἔστι που τὸ τῶν στρατηγῶν ὄνομα; οὐδαμοῦ, ἀλλὰ τὸ τοῦ δήμου.

186 Προέλθετε δὴ τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν τὴν ποικίλην· ἁπάντων γὰρ ὑμῖν τῶν καλῶν ἔργων τὰ ὑπομνήματα ἐν τῇ ἀγορᾷ ἀνάκειται. τί οὖν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὃ ἐγὼ λέγω; ἐνταῦθα ἡ ἐν Μαραθῶνι μάχη γέγραπται. τίς οὖν ἦν ὁ στρατηγός; οὑτωσὶ μὲν ἐρωτηθέντες ἅπαντες ἀποκρίναισθε ἂν ὅτι Μιλτιάδης, ἐκεῖ δὲ οὐκ ἐπιγέγραπται. πῶς; οὐκ ᾔτησε τὴν δωρεάν; ᾔτησεν, ἀλλ' ὁ δῆμος οὐκ ἔδωκεν, ἀλλ' ἀντὶ τοῦ ὀνόματος συνεχώρησεν
187 αὐτῷ γραφῆναι παρακαλοῦντα τοὺς στρατιώτας. ἐν τοί-

2 τάγ' A^h. 3 ἀρετῆς] ἀμοιβῆς (χάριτος superscr.) a. 4 ταῦτ' ἰδών el. 5 αμφὶ] χαίρων ἀμφὶ A^h. μόθον l, πόνον a. 8 προσέλθ. B. 9 ἡμῖν A^h. 13 ἀποκρίνασθε (αι superscr.) ἂν n, ἀποκρίνασθε ἂν m, ἀποκρίνεσθε (εῖ superscr.) ἂν g, αποκρινεῖσθε elh, ἂν ἀποκρινεῖσθε k. 14 πῶς οὖν e, πῶς x, cf. Dem. 19, 124. τὴν δωρεάν W, ταύτην τὴν δωρεάν A^h, τ. δ. ταύτην B. ᾔτησεν . . ἔδωκεν *om.* el. 16 γραφ. W, γρ. πρώτῳ A^h, πρώτῳ γρ. B. παρακαλοῦντα (gmh)², παρακαλοῦντι C.

partem dictum esse constat, cf. Eurip. Elect. 649: εὑρίσκεις δὲ μητρὶ πῶς φόνον; Pro dativo autem facile poni licet genetivum δυσμενέων. Relinquitur igitur ut quid πρῶτοι declaret exponatur. Et mihi quidem πρῶτοι arctius coniungendum videtur cum participio ἐπάγοντες quam cum verbo εὗρον: Athenienses illi omnium primi, pro eo ut inpetus hostium inlatos repellerent, ultro eos tamquam in ipsorum terra vel dicione oppugnare adorti patientia et virtute in extremam inopiam ac desperationem coniecerunt.

11—14: Quare ducibus pro tantis meritis hunc honorem Athenienses decreverunt, ut posteri etiam ad similem virtutem pro conmuni omnium salute praestandam accenderentur.

ἀμφὶ ξυνοῖσιν] Locus hic nondum persanatus est. De praepositionis usu conferre satis est Pind. Ol. 5, 34: μάρνασθαι ἀμφ' ἀρεταῖσι. Hom. Γ 157: τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν.

§ 186. ἐν τῇ ἀγορᾷ] Etenim στοὰ ποικίλη magnam partem veteris fori (τῆς ἀγορᾶς), quod erat in interiore Ceramico, includebat. Cf. Leake, Attic. Topogr. 159.

πῶς;] Haec particula maximae admirationis notitiam habet. Contra πῶς οὖν solemnis formula quaerentis est quomodo agi oporteat = quid igitur faciam? Dem. 19, 124: ἔδει δὲ μένειν. πῶς οὖν; ἀρρωστεῖν προφασίζεται. Exempla congessit Valcken. Eur. Hipp. 598. 1261.

γραφῆναι παρακαλοῦντα] Nep. Milt. 6: cum pugna depingeretur Marathonia, Miltiadi hic honos tributus est, ut in decem praetorum numero prima eius imago

νυν τῷ μητρῴῳ, ἣν ἔδοτε δωρεὰν τοῖς ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγοῦσιν, ἔστιν ἰδεῖν. ἦν μὲν γὰρ ὁ τὸ ψήφισμα νικήσας Ἀρχῖνος ὁ ἐκ Κοίλης, εἷς τῶν καταγαγόντων τὸν δῆμον, ἔγραψε δὲ πρῶτον μὲν εἰς θυσίαν καὶ ἀναθήματα δοῦναι χιλίας δραχμάς, καὶ τοῦτ' ἐστὶν ἔλαττον ἢ δέκα δραχμαὶ κατ' ἄνδρα, ἔπειτα κελεύει στεφανῶσαι θαλλοῦ στεφάνῳ αὐτῶν ἕκαστον, ἀλλ' οὐ χρυσῷ· τότε μὲν γὰρ ἦν ὁ τοῦ θαλλοῦ στέφανος τίμιος, νυνὶ δὲ καὶ ὁ χρυσοῦς καταπεφρόνηται. καὶ οὐδὲ τοῦτο εἰκῇ πρᾶξαι κελεύει, ἀλλ' ἀκριβῶς τὴν βουλὴν σκεψαμένην ὅσοι ἐπὶ Φυλῇ ἐπολιορκήθησαν, ὅτε Λακεδαιμόνιοι καὶ οἱ τριάκοντα προσέβαλλον, οὐχ ὅσοι τὴν τάξιν ἔλιπον τῶν πολεμίων ἐπιόντων. ὅτι δ' ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὸ ψήφισμα.

*ΨΗΦΙΣΜΑ ΠΕΡΙ ΔΩΡΕΑΣ ΤΟΙΣ ΑΠΟ ΦΥΛΗΣ.*

1 *post* μητρῴῳ *add.* C: παρὰ (*om.* el) τὸ βουλευτήριον, *del.* Bake. 3 τὸ *om.* mn. νικήσας A^h, γράψας καὶ νικήσας B. ἀρκῖνος elh. 4 καταγόντων n. εἰς θυσίαν W, εἰς θυσ. αὐτοῖς a, αὐτοῖς εἰς θυσ. x. 6 κατ' ἄνδρα ἕκαστον B. στεφανοῦσθαι B. 7 αὐτὸν ek. 8 καὶ ὁ A². στεφάνου am. οὐ τίμιος n. νῦν A^h. 9 καὶ *om.* el. 11 ὅσοι αὐτῶν B. φυλῇ B, φυλῆς A. οἵ τε aekh. 12 προσέβαλον el, *quod add. in* C: τοῖς καταλαβοῦσι φυλὴν *del.* Ham. *post* ἔλιπον *add.* C: ἐν Χαιρωνείᾳ, *del.* W. 14 ἡμῖν el.

poneretur, ipse hortaretur milites proeliumque committeret. Cf. etiam E. Curtius, Griech. Gesch. II 25.

§ 187. μητρῴῳ] Paus. I 3, 4: ᾠκοδόμηται δὲ καὶ μητρὸς θεῶν ἱερόν, ἣν Φειδίας εἰργάσατο, καὶ πλησίον τὸ τῶν πεντακοσίων καλούμενον βουλευτήριον, οἳ βουλεύουσιν ἐνιαυτὸν Ἀθηναίοις. Schol.: ἐνταῦθα ἔκειτο τὰ δημόσια γράμματα.

ἔστιν ἰδεῖν] Schol.: ἐν αὐτῷ τῷ ἱερῷ, ἐν ᾧ τὸ βουλευτήριόν ἐστιν, ἀνάκεινται γεγραμμένοι οἱ ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγόντες· κεῖνται δὲ καὶ ἐν τῷ Μητρῴῳ καὶ οἱ νόμοι τῶν . . .

Ἀρχῖνος] Cf. 195. II 176. Dem. 24, 135: Μυρωνίδης ὁ Ἀρχίνου υἱὸς τοῦ Φυλὴν καταλαβόντος καὶ μετά γε τοὺς θεοὺς αἰτιωτάτου ὄντος τῆς καθόδου τῳ δήμῳ καὶ ἄλλα πολλὰ καὶ καλὰ πεπολιτευμένου καὶ ἐστρατηγηκότος πολλάκις. De pago qui vocatur Κοίλη cf. Leake, Dem. 23. 228.

θαλλοῦ στεφάνῳ] Bekk. Anecd. I 263: θαλλὸν λέγουσι τὸν στέφανον τὸν ἀπὸ τῆς ἐλαίας. Oleaginae coronae antiquis quidem temporibus summo erant honori. Aureae non tam honorificae erant quam divitiarum et luxus signa. Bremi. Cf. II 46.

ἐπὶ Φυλῇ] Cf. Frohberger Lys. XII 52: πρὸς τοὺς ἐπὶ Φυλῇ.

οὐχ ὅσοι] Schol.: τοῦτο παρ' ὑπόνοιαν. δέον γὰρ περὶ τῶν τότε τι εἰπεῖν εἰς τὸν Δημοσθένην αἰνιττόμενος οὕτως ἐπήνεγκεν. Bremi: invectio eo acerbior, quo magis est inopinata.

188 *Παρανάγνωθι δὴ καὶ ὃ γέγραφε Κτησιφῶν Δημοσθένει τῷ τῶν μεγίστων αἰτίῳ κακῶν.*

*ΨΗΦΙΣΜΑ.*

*Τούτῳ τῷ ψηφίσματι ἐξαλείφεται ἡ τῶν καταγαγόντων [τὸν δῆμον] δωρεά. εἰ τοῦτ' ἔχει καλῶς, ἐκεῖνο αἰσχρῶς· εἰ ἐκεῖνοι κατ' ἀξίαν ἐτιμήθησαν, οὗτος ἀνάξιος ὢν στεφανοῦται.*

189 *Καίτοι πυνθάνομαί γ' αὐτὸν μέλλειν λέγειν, ὡς οὐ δίκαια ποιῶ παραβάλλων αὐτῷ τὰ τῶν προγόνων ἔργα· οὐδὲ γὰρ Φιλάμμωνά [φησι] τὸν πύκτην Ολυμπίασι στεφανωθῆναι νικήσαντα Γλαῦκον τὸν παλαιὸν ἐκεῖνον πύκτην, ἀλλὰ τοὺς καθ' ἑαυτὸν ἀγωνιστάς, ὥσπερ ὑμᾶς ἀγνοοῦντας ὅτι τοῖς μὲν πύκταις ἐστὶν ὁ ἀγὼν πρὸς ἀλλήλους, τοῖς δ' ἀξιοῦσι στεφανοῦσθαι πρὸς αὐτὴν τὴν ἀρετήν, [ἧς ἕνεκα στεφανοῦνται]. δεῖ γὰρ τὸν κήρυκα ἀψευδεῖν, ὅταν τὴν ἀνάρρησιν ἐν τῷ θεάτρῳ ποιῆται*

1 *ἀνάγνωθι* n. *δη* Wz, *δὲ* e, *om.* x. 2 *αἰτίῳ κακῶν* A$^h$, *κακῶν αἰτίῳ* B. 4 *ἡ τῶν*] *ἡμῶν* lh. 5 *τὸν δῆμον om.* A$^h$. *ἐκείνω* a. 6 *δ' ἐκεῖνοι* e, *ἐκεῖνο* l. 10 *φασὶ* el. 11 *ἐκεῖνον om.* A$^h$. 12 *ἡμᾶς* A$^h$. 14 *πρὸς ἀρετὴν τὴν ἀρετήν* lh. 15 *ἧς καὶ* agm.

§ 188. *κακῶν*] Haec vox extremo loco conlocata non modo vehementius accidit ad aures audientium sed etiam aliquantum temporis personat.

*εἰ τοῦτ' ἔχει κτλ.*] Schol.: *διάλληλος δεῖξις.* Hanc ratiocinationem omnium maxime adamabant Stoici.

§ 189. *καίτοι πυνθάνομαι κτλ.*] Facile ex rhetorum locis, quid Demosthenes contra dicturus esset, coniectura assequi poterat. Cf. Dem. 18, 314—319. Lept. 114: *αἱ μέντοι τιμαὶ καὶ τἆλλα πάντα τὰ μὲν τότ' ἦν ἐπὶ τοῖς τότ' ἔθεσιν, τὰ δὲ νῦν ἐπὶ τοῖς νῦν.* Hunc locum rhetores multum variaverant.

*Φιλάμμωνα*] Schol.: *πύκτης διάσημος Ὀλυμπιονίκης· ἐνίκησεν ἑκατοστῇ πέμπτῃ Ὀλυμπιάδι* (360—357 a. Chr.). *ἦν δὲ τῷ σώματι μέγας καὶ ἀποθανόντος Ἱπποκράτους τοῦ Λεοντίνων τυράννου διεδέξατο τὰ πράγματα καὶ κατασταθεὶς ὑπὸ Γέλωνος ἐν Καμαρίνῃ καταψηφισαμένων αὐτοῦ Καμαριναίων θάνατον ἀνῃρέθη.* Cf. Harduin ad Themist. or. XXI 249d. Harp. 181 Philammona Atheniensem fuisse auctor est, cf. Suid. 1461. Jacobs Anthol. II 1, 229.

*Γλαῦκον*] Schol.: *Καρύστιος ἦν οὗτος.* Paus. VI 10, 1. Quintil. XI 2, 14. Themist. I 7b: *καίτοι πόσους ἂν πατάξειεν ἢ ἀποκτείνειε Πολυδάμας ἢ Γλαῦκος μελαγχολῶν;*

*τὴν ἀρετὴν ἧς*] Non cum omni virtute, sed cum ea, cuius ergo honorem tulerunt, h. e. cum omnibus qui in hoc genere virtutis praestiterint conparari volunt. Schol.: *ὁ Διόνυσος ἐπιλαμβάνεται· οὐ γάρ, φησί, νικῆσαι βουλόμεθα τὴν ἀρετὴν ὡς τοὺς ἀνταγωνιστάς. ἠγνόηκε δ' ὅτι ὁ ἀγὼν πρὸς τὸ ἐπαγόμενον νοεῖται. ἄνω μὲν οὖν περὶ τῆς νίκης λέγομεν αὐτοὺς ἀγωνίζεσθαι, νῦν δὲ περὶ τοῦ ἐφικέσθαι.*

πρὸς τοὺς Ἕλληνας. μὴ οὖν ἡμῖν ὡς Παταικίωνος ἄμεινον πεπολίτευσαι διέξιθι, ἀλλ' ἐφικόμενος τῆς ἀνδραγαθίας οὕτω τὰς χάριτας τὸν δῆμον ἀπαίτει.

190 Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ἐπίγραμμα ὃ ἐπιγέγραπται τοῖς ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγοῦσιν.

ΕΠΙΓΡΑΜΜΑ.

Τούσδ' ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
δῆμος Ἀθηναίων, οἵ ποτε τοὺς ἀδίκοις
θεσμοῖς ἄρξαντας πόλιος πρῶτοι καταπαύειν
ἦρξαν, κίνδυνον σώμασιν ἀράμενοι.

191 Ὅτι τοὺς παρὰ τοὺς νόμους ἄρξαντας κατέλυσαν, διὰ τοῦτ' αὐτούς φησιν ὁ ποιητὴς τιμηθῆναι. ἔναυλον γὰρ ἦν ἔτι τότε πᾶσιν ὅτι τηνικαῦτα ὁ δῆμος κατελύθη, ἐπειδή τινες τὰς γραφὰς τῶν παρανόμων ἀνεῖλον. καὶ γάρ τοι υἱὸς ἐγὼ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ ἐπυνθανό-

3 τῷ δήμῳ a. 9 τοῖς l. 10 πόλιος πρῶτοι kh, πόληος πρ. el, πρῶτοι πόλεως B. 12 παρανόμους l, παρανόμως kh, παρὰ τὸν νόμον n. ἄρξαντες l. 14 ἔτι *om.* a. ὅτι B, ὅτε A[h]. 16 υἱὸς W, ὡς C.

*Παταικίωνος*] Suidas: *Παταικίων· ἀνὴρ ἀπὸ συκοφαντίας τὸν βίον ποιούμενος καὶ προσκρούειν ἐπιτηδεύων τοῖς εὐδοκιμοῦσι τῶν νέων. διεβάλλετο δὲ καὶ ὡς κλέπτης καὶ τοιχωρύχος, ὥστε καὶ κωμῳδεῖσθαι ἐπὶ τούτοις.* Cf. Diog. Laert. VI 39. Dio Chrys. 52 p. 550. In proverbium venit: *Παταικίωνος συκοφαντικώτερος* Mich. Apost. 14, 13.

§ 190. *ἐγέραιρε*] Hom. *H* 321: *νώτοισιν δ' Αἴαντα διηνεκέεσσι γέραιρεν ἥρως Ἀτρείδης.*

*παλαίχθων*] = *αὐτόχθων.*

§ 191. *ἔναυλον*] Proprie significat: tibiis personans. Inde haec deducta est dictio: *ἔναυλος λόγος* = sermo, quo adhuc aures personant, cf. Plat. Menex. 235 b: *οὕτως ἔναυλος ὁ λόγος τε καὶ ὁ φθόγγος παρὰ τοῦ λέγοντος ἐνδύεται εἰς τὰ ὦτα.* Inde vox translata est ad designandam recentissimarum rerum memoriam vel recordationem = noch im frischen Andenken. Multa exempla proposuit Ruhnken ad Tim. Lex. 85 (100). Ceterum *γραφὰς παρανόμων* paulo ante in iudicio, quasi parum admodum ad salutem reipublicae valerent, detraxerat Lycurg. Leocr. § 7. Cf. A. Schoene in Iahn. Annal. 99, 737.

*ἐπειδὴ — ἀνεῖλον*] Idemque iudicavit Dem. Timocr. § 154: *ἀκούω δ' ἔγωγε καὶ τὸ πρότερον οὕτω καταλυθῆναι τὴν δημοκρατίαν, παρανόμων πρῶτον γραφῶν καταλυθεισῶν καὶ τῶν δικαστηρίων ἀκύρων γενομένων.*

*ἔτη βιοὺς ἐνενήκ. κ. πέντε*] Cf. II 147: *οὑτοσὶ μέν μοί ἐστι πατὴρ Ἀτρόμητος, σχεδὸν πρεσβύτατος τῶν πολιτῶν· ἔτη γὰρ ἤδη βεβίωκεν ἐνενήκοντα καὶ τέτταρα κτλ.*

*υἱὸς*] Quamquam aetate iam provectus sum, tamen a patre haec omnia me accipere memini adulescentulum; II 77: *οὐ γὰρ παρὰ τῶν ἀλλοτρίων ἀλλὰ παρὰ τοῦ πάντων οἰκειοτάτου ταῦτα ἐπυνθανόμην.*

*μην, ὃς ἔτη βιοὺς ἐνενήκοντα καὶ πέντε ἐτελεύτησεν,
ἁπάντων μετασχὼν τῶν πόνων τῇ πόλει, ὥστε πολλάκις
πρὸς ἐμὲ διεξῄει ἐπὶ σχολῆς. ἔφη γάρ, ὅτε ἀρτίως κατε-
ληλύθει ὁ δῆμος, εἴ τις εἰσίοι γραφὴν παρανόμων εἰς δι-
καστήριον, εἶναι ὅμοιον τὸ ὄνομα καὶ τὸ ἔργον. τί γάρ
ἐστιν ἀνοσιώτερον ἀνδρὸς παράνομα λέγοντος καὶ πράτ-*
192 *τοντος; καὶ τὴν ἀκρόασιν, ὡς ἐκεῖνος ἀπήγγελλεν, οὐ τὸν
αὐτὸν τρόπον ἐποιοῦντο ὥσπερ νῦν γίγνεται, ἀλλ' ἦσαν
πολὺ χαλεπώτεροι οἱ δικασταὶ τοῖς τὰ παράνομα γράφου-
σιν αὐτοῦ τοῦ κατηγόρου, καὶ πολλάκις ἀνεπόδιζον τὸν
γραμματέα καὶ ἐκέλευον πάλιν ἀναγιγνώσκειν τοὺς νό-
μους καὶ τὸ ψήφισμα, καὶ ἡλίσκοντο οἱ τὰ παράνομα γρά-
φοντες, οὐκ εἰ πάντας παραπηδήσειαν τοὺς νόμους, ἀλλ'
εἰ μίαν μόνον συλλαβὴν παραλλάξειαν. τὸ δὲ νυνὶ γιγνό-
μενον πρᾶγμα ὑπερκαταγέλαστόν ἐστιν· ὁ μὲν γὰρ γραμ-
ματεὺς ἀναγιγνώσκει τὸ παράνομον, οἱ δὲ δικασταὶ ὥσπερ
ἐπῳδὴν ἢ ἀλλότριόν τι πρᾶγμα ἀκροώμενοι πρὸς ἑτέρῳ*
193 *τινὶ τὴν γνώμην ἔχουσιν. ἤδη δ' ἐκ τῶν τεχνῶν τῶν Δη-
μοσθένους αἰσχρὸν ἔθος ἐν τοῖς δικαστηρίοις παραδέχε-*

2 *ὥστε* W, *οὓς* Markl., *ὃς* C. 3 *κατελύθη* el. 4 *εἰσίοι* B, *εἰσῄει* A[h]. 6 *ἀνοσιώτατον* n. 7 *ἀπήγγειλεν* elh. 9 *πολὺ χαλ. οἱ* B, *πολὺ χαλεπώτεροι* k, *πολλοὶ* elh. *τὰ om.* A[h]. 12 *τὰ om.* B. 13 *-δήσαιεν* C 14 *μόνην* h. *παραλλάξαιεν* C, *em.* M. 15 *γὰρ om.* lmh. 17 *ἄλλοι τὶ ἀλλότριον* Priscian. XVIII 162. 18 *τοῦ δημοσθ.* A[h].

*ἔφη γὰρ*] Ille igitur hoc etiam narravit etc. Oratio enim rediit ad illud subiectum, quod iam paulo ante orator sibi animo informaverat.

*εἶναι*] Inf. Imperf.

*ὄνομα .. ἔργον*] Pari odio persequebantur et criminis nomen et crimen ipsum, h. e. non modo criminis veritate ad iram accendebantur, sed ipsam criminis speciem aversabantur, cum vel nomen criminis odiosum esset. Nec iniuria. Nam legum statum evertere vel dictis vel factis omnium scelerum profecto maxime nefandum est. Perinde esse *τὸ παράνομα λέγειν* et *τὸ παρ. πράττειν?*

§ 192. *τοῖς τὰ παράνομα γράφουσιν*] Ad genus alicuius rei denotandum conmode adhibetur articulus. Quare paulo post etiam ex A recipiendum putavi: *οἱ τὰ παράνομα γράφοντες.*

*ἀνεπόδιζον*] Pollux II 196: „*ἀνεπόδιζον*“ *δὲ* „*τὸν γραμματέα*“ *Αἰσχίνης ὁ ῥήτωρ ἔφη. ἐπὶ τοῦ· πάλιν ἀναγινώσκειν ἐποίουν, καὶ ἀναποδιζόμενα Ἀντιφῶν τὰ πάλιν ἐξεταζόμενα* (BS. 102. Bl. 84). Cf. Harp. Herod. V 92: *ἐπειρωτῶν τε καὶ ἀναποδίζων τὸν κήρυκα* = identidem (et cum vi quadam insistens) eadem interrogans, cf. Baehr. Illo igitur loco significat: non sine aliqua gravitate ac severitate scribam revocare.

*παραπηδήσειαν*] Libidinis notitiam habet, cf. ad § 12.

*ἐπῳδήν*] Tamquam carmina vatum et praestigiatorum, quae silentio homines, sed nequaquam attentis animis audirent.

§ 193. *ἐν τοῖς δικαστηρίοις*]

ἔργῳ. μετενήνεκται γὰρ ὑμῖν τὰ τῆς πόλεως δίκαια· ὁ μὲν γὰρ κατήγορος ἀπολογεῖται, ὁ δὲ φεύγων τὴν γραφὴν κατηγορεῖ, οἱ δὲ δικασταὶ ἐνίοτε ὧν μὲν εἰσι κριταὶ ἐπιλανθάνονται, ὧν δ' οὐκ εἰσὶ περὶ τούτων ἀναγκάζονται τὴν ψῆφον φέρειν. λέγει δὲ ὁ φεύγων, ἂν ἄρα ποθ' ἅψηται τοῦ πράγματος, οὐχ ὡς ἔννομα γέγραφεν, ἀλλ' ὡς ἤδη ποτὲ καὶ πρότερον ἕτερος τοιαῦτα γράψας ἀπέφυγεν. ἐφ' ᾧ καὶ νυνὶ μέγα φρονεῖν ἀκούω Κτησιφῶντα. ἐτόλμα 194 δ' ἐν ὑμῖν ποτε σεμνύνεσθαι Ἀριστοφῶν ἐκεῖνος ὁ Ἀζηνιεὺς λέγων ὅτι γραφὰς παρανόμων ἀποπέφευγεν ἑβδομήκοντα καὶ πέντε. ἀλλ' οὐχὶ ὁ Κέφαλος ὁ παλαιὸς ἐκεῖνος, ὁ δοκῶν δημοτικώτατος γεγονέναι, οὐχ οὕτως, ἀλλ' ἐπὶ τοῖς ἐναντίοις ἐφιλοτιμεῖτο, λέγων ὅτι πλεῖστα πάντων γεγραφὼς ψηφίσματα οὐδεμίαν πώποτε γραφὴν ἔφυγε παρανόμων, καλῶς οἶμαι σεμνυνόμενος. ἐγράφοντο γὰρ ἀλλήλους παρανόμων οὐ μόνον οἱ διαπολιτευόμενοι, ἀλλὰ

1 μετήνεγκται e, μετήνεκται l. ὑμῖν Markl., ἡμῖν ekh, ὑμῶν x. 2 τὴν om. n. 4 οὐκ εἰσὶ Cob., οὐκ εἰσὶ δικασταὶ C. 5 ἐκφέρειν g. ἐὰν e. 7 τοσαῦτα A[b]. 8 νῦν A[b]. μεγαλοφρονεῖν klh. 9 ἡμῖν elh. ποτε om. e. 10 ἀπέφυγεν A[b], πέφευγεν B. 11 οὐχ A[b]. 14 ἔφυγε Cob., ἔφευγε A[b], πέφευγε B.

Hoc mihi suspectum est propterea quod ratio et natura verbi *παραδέχεσθαι* efflagitat praepositionem *εἰς* accusativumque subiectum, cf. I 178: *πάντων ἀδικώτατον ἔθος εἰς τοὺς ἀγῶνας παραδέχεσθε.* Quare erant qui perfectum tempus *παραδέδεχθε* restituendum censerent. Sext. adv. rhet. 40 (p. 682 B): *ὅθεν καὶ ὁ Αἰσχ. κακὸν ἔθος φησὶν εἰς τὸ δικαστήριον παρῆλθεν· ὁ μὲν γὰρ κατήγορος κτλ.*

*ὑμῖν*] Dativus ethicus hoc loco significat, iuris iudiciorumque rationem vi et ludibrio Demosthenis in ipsum civium inconmodum mutatam esse. Hanc autem Demosthenis artem adumbravit Aeschines ipse I 175. 178.

§ 194. *ἐτόλμα*] Cf. ad § 131.
*Ἀριστοφῶν*] Schaefer I 122 sq.
*Κέφαλος*] Schaefer I 127 sq. Sauppe Or. frgm. 217. Hanc praecipuam Cephali laudem praedicavit etiam Dem. cor. 251. Cf. etiam 219: *καίτοι πολλοὶ παρ' ὑμῖν γεγόνασι ῥήτορες ἔνδοξοι καὶ μεγάλοι πρὸ ἐμοῦ, Καλλίστρατος ἐκεῖνος, Ἀριστοφῶν, Κέφαλος, Θρασύβουλος, ἕτεροι μυρίοι· ἀλλ' ὅμως οὐδεὶς πώποτε τούτων διὰ παντὸς ἔδωκεν ἑαυτὸν εἰς οὐδὲν τῇ πόλει, ἀλλ' ὁ μὲν γράφων οὐκ ἂν ἐπρέσβευσεν, ὁ δὲ πρεσβεύων οὐκ ἂν ἔγραφεν* (?).

*οἱ διαπολιτευόμενοι*] Exspectaveris *ἀντιπολιτευόμενοι*, sed cf. Harp. 56: *διαγορεύων· Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους κέχρηται τῷ διαγορεύων ἀντὶ τοῦ διάφορα καὶ οὐ ταὐτὰ λέγων. τὸ ἐναντίον γάρ ἐστι παρ' αὐτοῖς τὸ διαγορεύειν τῷ συναγορεύειν, ὥσπερ τὸ συμφέρεσθαι τῷ διαφέρεσθαι καὶ τὸ συμπολιτεύεσθαι τῷ διαπολιτεύεσθαι καὶ τὸ συμφωνεῖν τῷ διαφωνεῖν.*

καὶ οἱ φίλοι τοὺς φίλους, εἴ τι ἐξαμάρτοιεν εἰς τὴν πόλιν.
195 ἐκεῖθεν δὲ τοῦτο γνώσεσθε. Ἀρχῖνος γὰρ ὁ ἐκ Κοίλης
ἐγράψατο παρανόμων Θρασύβουλον τὸν Στειριέα, ἕνα
τῶν συγκατελθόντων, καὶ εἷλε νεωστὶ γεγενημένων αὐτῷ
τῶν εὐεργεσιῶν, ἃς οὐχ ὑπελογίσαντο οἱ δικασταί·
ἡγοῦντο γάρ, ὥσπερ τότε αὐτοὺς φεύγοντας ἀπὸ Φυλῆς
Θρασύβουλος κατήγαγεν, οὕτω νῦν κατελθόντας ἐξελαύ-
196 νειν. ἀλλ' οὐ νῦν, ἀλλὰ πᾶν τοὐναντίον γίγνεται· οἱ
γὰρ ἀγαθοὶ στρατηγοὶ ὑμῖν καὶ τῶν τὰς σιτήσεις τινὲς

1 ἐξαμάρτοιεν h, ἐξαμαρτάνοιεν C. 3 Στειριέα] *add.* C: γράψαντά τι (τι *om.* A^h) παρὰ τοὺς νόμους στεφανοῦν (*om.* M), *del.* Ham. 4 συγκατ. W, ἀπὸ φυλῆς αὐτῷ συγκ. elh, συγκ. αὐτῷ ἀπὸ φυλῆς Bk. 7 κατελθόντας W, μένοντας C. ἐξελαύνειν] *add.* A^h: γράφοντά τι παρὰ τοὺς νόμους, B: παρὰ τοὺς νόμους γράφοντά τι, *del.* W. 8 ἀλλὰ πᾶν A^h, ἀλλ' ἅπαν B. 9 ὑμῖν ek, ἡμῖν lh, ὑμῶν B.

§ 195. *Ἀρχῖνος*] Cf. § 187. Schaefer I 127. Blass, Gesch. der Beredts. 340. Aliorum beneficio testium scimus cur Thrasybulus ab Archino accusatus fuerit. Pseudoplut. in vita Lys. 835 f: *ἐφ' οἷς γράψαντος αὐτῷ Θρασυβούλου πολιτείαν μετὰ τὴν κάθοδον ἐπ' ἀναρχίας τῆς πρὸ Εὐκλείδου ὁ μὲν δῆμος ἐκύρωσε τὴν δωρεάν, ἀπενεγκαμένου δ' Ἀρχίνου γραφὴν παρανόμων διὰ τὸ ἀπροβούλευτον εἰσαχθῆναι ἑάλω τὸ ψήφισμα, καὶ οὕτως ἀπελαθεὶς τῆς πολιτείας τὸν λοιπὸν ᾤκησε χρόνον ἰσοτελὴς ὤν.* Max. Plan. ad Hermog. V 343 (W): *Θρασύβουλος μετὰ τὴν τῶν τριάκοντα κατάλυσιν ἔγραψε τῷ Λυσίᾳ ψήφισμα περὶ τοῦ δεῖν αὐτὸν γενέσθαι πολίτην, καὶ κατηγορηθεὶς ὡς ἀπροβούλευτον ψήφισμα εἰσενενγκών — οὐ γὰρ ην πω καταστᾶσα ἡ βουλή — κατεδικάσθη χρημάτων· ὁ δὲ „οὐ μὰ Δία" ἔφη „ἀλλὰ θανάτου· τί γὰρ τοιούτους ἔσωζον;"* Atque huc etiam illud pertinere puto, quod Plato Phaedr. 257 c conmemorat: *καὶ γάρ τις αὐτὸν* (= Lysiam), *ὦ θαυμάσιε, ἔναγχος τῶν πολιτικῶν τοῦτ' αὐτὸ λοιδορῶν ὠνείδιζε καὶ διὰ πάσης τῆς λοιδορίας ἐκάλει λογογράφον.* Sauppe Ep. Crit. 128. Cf. etiam Schol. Laur. ap. Schultzium.

*συγκατελθόντων*] sc. *τοῖς ἀπὸ Φυλῆς*, cuius rei memoria omnium in ore erat. Similiter emendandum est Lys. XIII 77: *ὡς ἐπὶ Φυλήν τ' ᾤχετο καὶ συγκατῆλθε*, ubi grammatici addiderunt: *τοῖς ἀπὸ Φυλῆς*. Cf. Lys. XXXI 9: *ἐπὶ κατειργασμένοις μᾶλλον ἐλθεῖν βουλόμενος ἢ συγκατελθεῖν κατεργασάμενός τι τῶν τῇ κοινῇ πολιτείᾳ συμφερόντων.*

*νῦν — ἐξελαύνειν*] Grammatici explicandi et interpretandi studio adiunxerunt: *γράφοντά τι παρὰ τοὺς νόμους*. At hoc si orator eloqui vellet, paulo ante pronuntiare debuerat, qua tandem virtute vel quibus artibus Thrasybulus exsulem populum restituisset. Accedit quod sola sententia ista *οὕτω νῦν κατελθόντας ἐξελαύνειν* non modo plane expressa est sed etiam multo acrior et vehementior videtur. Denique pronomen infinitum (*γράφοντά τι*) in hac sententiae conformatione nimis est languidum et putidum. Atque istud emblema supra lineam potius quam intra versum in archetypo fuisse apparet ex recensionum dissensu.

§ 196. *οἱ ἀγαθοὶ στρατηγοί*] Epitheton Aeschines adiecit non

εὑρημένων ἐξαιτοῦνται τὰς γραφὰς τῶν παρανόμων, οὓς ὑμεῖς ἀχαρίστους εἶναι δικαίως ἂν ὑπολαμβάνοιτε· εἰ γάρ τις ἐν δημοκρατίᾳ τετιμημένος, ἐν τοιαύτῃ πολιτείᾳ ἣν οἱ θεοὶ καὶ οἱ νόμοι σῴζουσι, τολμᾷ βοηθεῖν τοῖς τὰ παράνομα γράφουσι, καταλύει τὴν πολιτείαν ὑφ' ἧς τετίμηται. τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ δικαίῳ συνηγόρῳ; 197
ἐγὼ λέξω. εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα, ὅταν εἰσίῃ γραφὴ παρανόμων εἰς τὸ δικαστήριον. ἐγχεῖται γὰρ τὸ μὲν πρῶτον ὕδωρ τῷ κατηγόρῳ καὶ τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ, τὸ δὲ δεύτερον τῷ τὴν γραφὴν φεύγοντι καὶ τοῖς εἰς αὐτὸ τὸ πρᾶγμα λέγουσιν· ἐπειδὰν δὲ τῇ

1 εὑρημένων] *add.* C: ἐν τῷ πρυτανείῳ, *del.* W. 2 ὑπολαμβάνητε kln. 3 πόλει ln. 4 τὰ *add.* W. 6 δικαίῳ συνηγ. $A^h$, δικαίῳ συνηγ. καὶ σώφρονι a, συνηγ. δικαίῳ καὶ σώφρονι gmn. 10 δεύτερον W, δεύτερον ὕδωρ C.

ut virtutis memoriam excitaret sed ut exspectationem hominum praetorum virtutibus actionibusque contrariam designaret. Atque huic occultae vituperationi dativi etiam ethici (ὑμῖν) usurpatio inservire videtur. Cf. § 73. Din. I 1. 53.

τὰς σιτήσεις] sc. ἐν πρυτανείῳ, pro qua grammatici falso: ἐν τῷ πρυτανείῳ. Nam articulus in hac formula deesse solet, cf. 178 Dem. 19, 330. Maetzn. ad Din. I 101, Kleyn Mnemos. VIII 101. Idemque emblema infecisse arbitror Aesch. II 80: καὶ γὰρ τὰς εἰκόνας ἵστατε καὶ τὰς προεδρίας καὶ τοὺς στεφάνους καὶ τὰς [ἐν πρυτανείῳ] σιτήσεις δίδοτε οὐ τοῖς τὴν εἰρήνην ἀπαγγείλασιν ἀλλὰ τοῖς τὴν μάχην νικήσασιν, ubi item aliquot libri ἐν τῷ πρυτανείῳ. Cf. etiam II 46. 53: ἐπαινέσαι καὶ καλέσαι [ἐπὶ δεῖπνον] εἰς τὸ πρυτανεῖον εἰς αὔριον.

τοιαύτῃ ἣν] Cf. Frohberger Lys. XIII 13.

οἱ θεοὶ καὶ οἱ νόμοι] Absurde hic deos et leges coniunctim nominari tamquam conmunes democratiae sospitatores existimavit Hamaker Mnemos. VIII 15. Quare legendum censet: οἱ θεσμοὶ καὶ οἱ νόμοι. Cui rei minus hic locus est quam deorum conmemorationi. Atque οἱ θεοὶ καὶ οἱ νόμοι non idem significat atque καὶ οἱ θεοὶ καὶ οἱ νόμοι. Nam in illa verborum copulatione haec inest sententia: praeter deorum voluntatem maxime reip. salutem in legum conservatione positam esse.

§ 197. ἀνδρὶ δικαίῳ συνηγόρῳ] = quaenam oratio convenit iusto ac probo homini qui patroni partes susceperit? Nam illud dativus est obiecti hoc dativus appositionis. Bremi.

διαιρεῖται] Harp. 58: διαμεμετρημένη ἡμέρα· μέτρον τί ἐστιν ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον· ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί. πρὸς δὴ τοῦτο ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες. διενέμετο δὲ τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τρίτον τοῖς δικάζουσι. ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν, ὥσπερ καὶ Αἰσχ. ἐν τῷ κ. Κτ. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διδάσκει περὶ τούτων (fr. 423).

καὶ τοῖς νόμοις] Schol.: ὡς τοῦ κατηγόρου ὡς ἐπὶ τὸ πολὺ διὰ τὸ παρὰ τοὺς νόμους τι πράττεσθαι κατηγοροῦντος.

τοῖς . . λέγουσιν] Schol.: ἐξῆν

πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον, ἤδη τὸ τρίτον ὕδωρ
ἐγχεῖται τῇ τιμήσει καὶ τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμετέ-
198 ρας. ὅστις μὲν οὖν ἐν τῇ τιμήσει τὴν ψῆφον αἰτεῖ, τὴν
ὀργὴν τὴν ὑμετέραν παραιτεῖται· ὅστις δ' ἐν τῷ πρώτῳ
λόγῳ τὴν ψῆφον αἰτεῖ, νόμον αἰτεῖ, ὅρκον αἰτεῖ, δημο-
κρατίαν αἰτεῖ, ὧν οὔτε αἰτῆσαι οὐδὲν ὅσιον οὐδενὶ οὔτ'
αἰτηθέντα ἑτέρῳ δοῦναι. κελεύσατε οὖν αὐτούς, ἐάσαν-
τας τὴν πρώτην ψῆφον κατὰ τοὺς νόμους διενεγκεῖν,
199 ἀπαντᾶν εἰς τὴν τίμησιν. ὅλως δ' ἔγωγε, ὦ ἄνδρες Ἀθη-
ναῖοι, ὀλίγου δέω εἰπεῖν, ὡς καὶ νόμον δεῖ τεθῆναι ἐπὶ
ταῖς γραφαῖς μόναις ταῖς τῶν παρανόμων, μὴ ἐξεῖναι
μήτε τῷ κατηγόρῳ συνηγόρους παρασχέσθαι μήτε τῷ τὴν
γραφὴν φεύγοντι. οὐ γὰρ ἀόριστόν ἐστι τὸ δίκαιον, ἀλλ'
ὡρισμένον τοῖς νόμοις τοῖς ὑμετέροις. ὥσπερ γὰρ ἐν τῇ
τεκτονικῇ, ὅταν εἰδέναι βουλώμεθα τὸ ὀρθὸν καὶ τὸ μή,
200 τὸν κανόνα προσφέρομεν ᾧ διαγιγνώσκεται, οὕτω καὶ ἐν
ταῖς γραφαῖς ταῖς τῶν παρανόμων παράκειται κανὼν τοῦ
δικαίου τουτὶ τὸ σανίδιον, τὸ ψήφισμα καὶ οἱ παραγε-

1 μὴ *om.* A[h]. ὕδωρ *om.* h[1]. 3 τὴν ὀργὴν . . . αἰτεῖ (5) *om.* e. 4 αἰτεῖται gmn. 5 ὅρκον αἰτεῖ *om.* B, cf. Rhet. Gr. III 28. 30. 54. 74. 6 οὐδέν ἐστιν A[h]. 8 τὴν πρώτην W, τὴν πρώτην ὑμᾶς A[h], ὑμᾶς τὴν πρ. B. 10 τιθέναι l. 11 μόναις k, *om.* n, μόνον x. ταῖς τῶν W, ταῖς h, τῶν x. 12 τὴν γραφὴν φεύγοντι W, τὴν γραφὴν τῶν παρανόμων φεύγ. C. 13 φεύγ.] γράφοντι lh. 17 ταῖς τῶν k, τῶν x. 18 καὶ *ante* τὸ C, *del.* Sauppe.

γὰρ καλέσαι οὓς ἂν ἐθέλωσι συνηγορίαν.

τῇ πρώτῃ ψήφῳ] Habita enim et accusatione et defensione iudices sententias ferebant, utrumne reus crimine teneretur an absolveretur. Quodsi innocentem reum esse maiore sententiarum parte conprobatum esset, etiamsi accusator ne quintam quidem partem tulisset, nihil iam erat cur amplius disceptaretur. At noxius si declaratus esset, poenae vel litis fiebat aestimatio.

§ 198. τὴν ψῆφον αἰτεῖ] i. e. ut in suum favorem et gratiam sententia feratur. Dem. XXI 5: εἰ μὲν οὖν παρανόμων ἢ παραπρεσβείας ἤ τινος ἄλλης αἰτίας ἤμελλον αὐτοῦ κατηγορεῖν, οὐδὲν ἂν ὑμῶν ἠξίουν δεῖσθαι, νομίζων τῷ μὲν κατηγόρῳ περὶ τῶν τοιούτων προσήκειν ἐλέγχειν μόνον, τῷ δὲ φεύγοντι καὶ παραιτεῖσθαι (= deprecari).

ὅρκον αἰτεῖ] Celeberrimum istuc erat rhetorum exemplum et conversionis (= ἀντιστροφῆς) et conmorationis (ἐπιμονῆς), cf. Alex. III 28. 30 (Sp.). Phoebam. III 54. Tib. III 74. Praeterea cf. § 200. 202. Cornific. IV § 19: nam cum istos ut absolvant rogas, ut periurent rogas, ut existimationem neglegant, ut leges tuae libidini largiantur, rogas.

διενεγκεῖν] = nullo obiecto inpedimento pro iure ac religione sententiam ferre.

§ 200. σανίδιον] Schol.: λελευκωμένον πινάκιον, ἐν ᾧ ἡ γραφὴ γέγραπται ἣν ἐγράψατο

γραμμένοι νόμοι. ταῦτα συμφωνοῦντα ἀλλήλοις ἐπιδείξας κατάβαινε· καὶ τί δεῖ σε Δημοσθένην παρακαλεῖν; ὅταν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν παρακαλῇς κακοῦργον ἄνθρωπον καὶ τεχνίτην λόγων, κλέπτεις τὴν ἀκρόασιν, βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν.

201 Τίς οὖν ἐστιν ἀποτροπὴ τῶν τοιούτων λόγων; ἐγὼ προερῶ. ἐπειδὰν προελθὼν ἐνταυθοῖ Κτησιφῶν διεξέλθῃ πρὸς ὑμᾶς τοῦτο δὴ τὸ συντεταγμένον αὐτῷ προοίμιον, ἔπειτ' ἐνδιατρίβῃ καὶ μὴ ἀπολογῆται, ὑπομνήσατ' αὐτὸν ἄνευ θορύβου τὸ σανίδιον λαβεῖν καὶ τοὺς νόμους τῷ ψηφίσματι παραναγνῶναι. ἐὰν δὲ μὴ προσποιῆται ὑμῶν ἀκούειν, μηδὲ ὑμεῖς ἐκείνου ἐθέλετε· οὐ γὰρ τῶν φευ-

2 δημοσθένη a. 8 προερῶ A, προσερῶ h, ἐρῶ B. προελθ. A, προσελθ. B. 9 δὴ *om.* l, γὰρ h. 11 ἄνευ θορύβου B, ἀθορύβως A, ἀγαθορύβῶς h. λαβὼν a. 13 ἐκεῖνον eh. ἐθέλετε W, ἐθ. ἀκούειν C, *del.* Cob.

ὁ κατήγορος καὶ τὸ ψήφισμα τὸ κατηγορούμενον καὶ οἱ νόμοι. Iste libellus pro tribunali, ut quorum interesset cognosci posset, publice proponebatur. Cf. Meier-Schoem. Proz. 604 sq.

καὶ τί δεῖ κτλ.] Sententiarum ordo hic mihi apparere videtur: Iuste si agere voles, leges et rogationem tuam congruere inter se demonstra. Quo facto nihil relinquitur quam iudicum sententia. Quidquid enim aliud praeterea institueris, contra ius et fas futurum est. Et Demosthenem quidem quid tandem est cur perorare velis? Iustitiam certe in defendendo ille non est secuturus. Contrariam autem defensionis viam initurus si huiuscemodi hominem malitiosum et versutum in auxilium vocabis, apparet et iudicum aures decipere (cf. § 99) et damnum reipublicae adferre et democratiam evertere te velle.

§ 201—214: Quasi necessarium iudicibus consilium daturus, cuius recordatione Demosthenis artes et insidias effugerent, optimam sibi viam paravit, ut et crimina longa oratione exposita denuo repeteret iudicumque animis inculcaret et Demosthenis dicendi facultatem in suspicionem vocaret.

§ 201. προερῶ] Cf. 179. 207. Frequentior quidem formula est: ἐγὼ ἐρῶ.

τὸ συντεταγμένον προοίμιον] Prooemium quodam modo Ctesiphontis erat oratio, quia defensionem ipsam Demostheni relicturus erat (τῷ συνηγόρῳ). Atque hoc ipsum prooemium Ctesipho et Demosthenes conmuni opera et consilio constituisse arguuntur. Cf. Plat. Legg. 930e: φρονῆσαι δὲ χρὴ περὶ θεῶν θεραπείας τοιόνδε προοίμιον ἂν γενόμενον, εἰς τὰς τῶν γεννησάντων τιμάς τε καὶ ἀτιμίας ὀρθῶς συντεταγμένον.

ἄνευ θορύβου] Etenim Ctesiphontis libertas et voluntas si constringeretur, querellas eum editurum et tamquam clamores veri simile erat.

ἐκείνου] Supplenda auditoribus reliquit ἀκούειν προσποιεῖσθε, vel ut grammatici sibi finxerunt: ἐθέλετε ἀκούειν. Cf. Cobet Mnem. IV 299. N. L. 103.

γόντων τὰς δικαίας ἀπολογίας εἰσεληλύθατε ἀκροασόμε-
202 νοι, ἀλλὰ τῶν ἐθελόντων δικαίως ἀπολογεῖσθαι. ἐὰν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν παρακαλῇ Δημοσθένην, μάλιστα μὲν μὴ προσδέχεσθε, οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, μηδ' ἐν ἀρετῇ τοῦθ' ὑμῶν μηδεὶς καταλογιζέσθω, ὃς ἂν ἐπανερομένου Κτησιφῶντος εἰ καλέσῃ Δημοσθένην πρῶτος ἀναβοήσῃ „κάλει, κάλει.“ ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς. ἂν δ' ἄρα ὑμῖν δόξῃ ἀκούειν, ἀξιώ-

1 τὰς δικαίας Ham., τὰς οὐ δικ. C, cf. Franke Iahn. Ann. 93, 597. 3 παρακαλ. δημοσθ. A^h, δημ. παρ. B. 4 προσδέχεσθε] *add.* A^h σοφιστὴν, B: κακοῦργον ἄνθρωπον, *del.* W, cf. § 16. οἰόμενον . . ἀναιρήσειν *etiam del.* B, *fort. rectius.* ῥήμασι *om.* A^h. 5 ὑμῖν elh. 6 ἂν *om.* gl. 7 καλέσῃ Bekk., καλέσειε A^h, καλέσω B. *alterum* κάλει *om.* elh, Rhet. Gr. III 10. 55. 30. 319. II 346. 8 τὴν *om.* A. 9 δ' *om.* n

ἀκροασόμενοι] Admonet scilicet iudicum iurisiurandi, cf. Dem. 24, 151: καὶ ἀκροάσομαι τοῦ κατηγόρου καὶ τοῦ ἀπολογουμένου ὁμοίως ἀμφοῖν. Hanc autem legem in suum quisque conmodum explicare studebat (iuris interpretatio). Et Aeschines quidem sic existimat, si adversarius iusta utatur defensione, iudices religione teneri ut audiant, si minus, ad audiendum iam iudices nequaquam adactos esse. Contraque Demosthenes 18, 2 τὸ ὁμοίως ἀμφοῖν ἀκροάσεσθαι sic interpretatur: τοῦτο δ' ἐστὶν οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδὲν οὐδὲ τὸ τὴν εὔνοιαν ἴσην ἀμφοτέροις ἀποδοῦναι, ἀλλὰ καὶ τὸ τῇ τάξει καὶ τῇ ἀπολογίᾳ ὡς βεβούληται καὶ προῄρηται τῶν ἀγωνιζομένων ἕκαστος οὕτως ἐᾶσαι χρήσασθαι. Utriusque interpretatio manca et debilis est.

§ 202. μὴ προσδέχεσθε] Multo etiam durius est quod aliquando Demosthenes rei vocem admitti vetuerat, cf. Aesch. II 1: τὴν ὠμότητα, ὃς ἐτόλμησε παρακελεύσασθαι τὴν τοῦ κινδυνεύοντος φωνὴν μὴ ὑπομένειν.

τοὺς νόμους] scilicet eas leges, in quibus haec omnis causa vertitur, contra quas Ctesipho rogationem suam tulisse videbatur. Et hanc artem ingeniose et libere praestitit Demosthenes, qui legum ratione praetermissa statim involaverit in publicae actionis suae conmemorationem, deinde cum inflammasset iudices, pauca disseruerit de statu legitimo, denique redierit ad reipublicae casus et officia.

εἰ καλέσῃ] Cf. II 64. 68.

ἐν ἀρετῇ] = ὡς φιλάνθρωπόν τι. Schol.

κάλει] Perspicitur hinc, quantum fuerit Atheniensium studium Demosthenis audiendi, cum, simulac quis eius mentionem fecerat, solerent alta voce clamare, ut vocetur orator et progrediatur. Bremi. Quasi vero ista conmemoratio fortuita esset! Quasi vero si quis interrogasset, num sibi advocare liceret, si iudices adnuerent, aliud quidquam respondere possent quam κάλει κάλει = licet vero.

καλεῖς κτλ.] Demetr. περὶ ἑρμ. 268: τὸ σχῆμα τοῦτο τριπλοῦν· καὶ γὰρ ἐπαναφορά ἐστι καὶ ἀσύνδετον καὶ ὁμοιοτέλευτον. καὶ δεινότης ἤθροισται ἐκ τῶν τριῶν, εἰ δ' εἴποι τις οὕτως „ἐπὶ σαυτὸν καὶ τοὺς νόμους καὶ τὴν δημοκρατίαν καλεῖς“ ἅμα τοῖς σχήμασιν ἐξαιρήσει καὶ τὴν δεινότητα. Cf. etiam Hermog. II

σατε τὸν Δημοσθένην τὸν αὐτὸν τρόπον ἀπολογεῖσθαι ὅνπερ κἀγὼ κατηγόρηκα. ἐγὼ δὲ πῶς κατηγόρηκα; ἵνα καὶ τοῦθ᾽ ὑπομνήσω ὑμᾶς, οὔτε τὸν ἴδιον βίον τὸν Δη- 203
μοσθένους πρότερον διεξῆλθον οὔτε τῶν ἀδικημάτων τῶν δημοσίων οὐδενὸς πρότερον ἐμνήσθην, ἄφθονα δήπου καὶ πολλὰ ἔχων, ἢ πάντων γ᾽ ἂν εἴην ἀπορώτατος· ἀλλὰ πρῶτον μὲν τοὺς νόμους ἐπέδειξα ἀπαγορεύοντας μὴ στεφανοῦν τοὺς ὑπευθύνους, ἔπειτα τὸν ῥήτορα ἐξήλεγξα γράψαντα Δημοσθένην ὑπεύθυνον ὄντα στεφανοῦν οὐδὲν προβαλόμενον, οὐδὲ προσγράψαντα „ἐπειδὰν δῷ τὰς εὐθύνας,“ ἀλλὰ παντελῶς καὶ ὑμῶν καὶ τῶν νόμων καταπεφρονηκότα· καὶ τὰς ἐσομένας πρὸς ταῦτα προφάσεις εἶπον, ἃς ἀξιῶ καὶ ὑμᾶς διαμνημονεύειν. δεύτερον δ᾽ 204
ὑμῖν διεξῆλθον τοὺς περὶ τῶν κηρυγμάτων νόμους, ἐν οἷς διαρρήδην ἀπείρηται τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας· ὁ δὲ ῥήτωρ ὁ φεύγων τὴν γραφὴν οὐ τοὺς νόμους μόνον παραβέβηκεν ἀλλὰ καὶ τὸν καιρὸν τῆς ἀναρρήσεως καὶ τὸν τόπον, κελεύων οὐκ ἐν τῇ ἐκκλησίᾳ ἀλλ᾽ ἐν τῷ θεάτρῳ τὴν ἀνάρρησιν γίγνεσθαι, οὐδ᾽ ἐκκλησιαζόντων Ἀθηναίων ἀλλὰ μελλόντων τραγῳδῶν εἰσιέναι. ταῦτα δ᾽ εἰπὼν μικρὰ μὲν περὶ τῶν ἰδίων εἶπον, τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων

3 τοῦθ᾽ *add.* W. τὸν B, τοῦ Ah. 4 τῶν δημοσ. ἀδικ. B. 5 πρότερον οὐδενὸς a. 6 ἔχων W, λέγειν ἔχων Ah, ἔχων λέγειν B. 7 ἐπέδειξα τοὺς νόμους A, ἀπέδειξα τ. ν. h. 10 προβαλόμ. Steph., προβαλλ. C. προσγρ. h, προσεγγρ. C, cf. § 11. 12 ταύτας B. 20 οὐκ Ab. 22 οἰκείων a.

346. Phoeb. III 55. Alex. III 10. 30.

ἵνα ὑπομνήσω] Huiuscemodi enuntiata veterum si cum nostra dicendi consuetudine conparaveris, sententia haec deesse videtur: so sage ich, so erkläre ich, so wiederhole ich etc.

§ 203. ἔχων] sc. λέγειν, quod facile ex ἐμνήσθην animo repetatur.

ἀπορώτατος] Hoc interdum de eo dicitur, qui propter tarditatem ingenii nihil dicendo expedire queat. Bremi.

προβαλόμενον] Aoristum tuetur Schol. interpretatio: ἀντὶ τοῦ προτάξαντα πρὸ τοῦ εἰπεῖν στεφανοῦν, ἀντὶ τοῦ οὐκ εἰπόντα, ἐπειδὰν τὰς εὐθύνας δῷ.

παντελῶς] = plane, cf. Dem. 18, 11: παντελῶς εὔηθες.

§ 204. καὶ τὸν τόπον] Cf. ad § 34.

περὶ τῶν δημοσίων] Grammatici ex 203 addiderunt ἀδικημάτων ut ex hoc loco supra adscripserunt δημοσίων. Nam hic quidem ἀδικημάτων tolerari non potest, quod simul revocandum esset ad περὶ τῶν ἰδίων, quasi publica et domestica facinora distinguerentur. Hoc iam Reiskius perspexisse videtur cum scripsit: τὰ δὲ πλεῖστα περὶ τῶν δημο-

205 [ἀδικημάτων] λέγω. οὕτω δὴ καὶ τὸν Δημοσθένην ἀξιώσατε ἀπολογεῖσθαι πρὸς τὸν τῶν ὑπευθύνων νόμον πρῶτον, πρὸς τὸν περὶ τῶν κηρυγμάτων δεύτερον, τρίτον δὲ ὡς οὐδὲ ἀνάξιός ἐστι τῆς δωρεᾶς. ἐὰν δ' ὑμῶν δέηται συγχωρῆσαι αὐτῷ περὶ τῆς τάξεως τοῦ λόγου, κατεπαγγελλόμενος ὡς ἐπὶ τῇ τελευτῇ τῆς ἀπολογίας λύσει τὸ παράνομον, μὴ συγχωρεῖτε, μηδ' ἀγνοεῖθ' ὅτι πάλαισμα τοῦτ' ἐστὶ δικαστηρίου· οὐ γὰρ εἰσαῦθίς ποτε πρὸς τὸ παράνομον ἀπολογεῖσθαι, ἀλλ' οὐδὲν ἔχων δίκαιον εἰπεῖν ἑτέρων παρεμβολῇ πραγμάτων εἰς λήθην ὑμᾶς βούλεται
206 τῆς κατηγορίας ἐμβαλεῖν. ὥσπερ οὖν ἐν τοῖς γυμνικοῖς

1 ἀπολογ. ἀξιώσατε g. 2 νόμων lm. 3 πρὸς $A^h$, καὶ B, *om* M. τρίτον δὲ] *add.* C: τὸ (τὸν a) μέγιστον λέγω, *del.* W, τὸ μέγιστον λεγέτω Ham., *quod ipse conieceram, nisi hoc verbum prorsus ab ista re alienum esse viderem.* 4 οὐδὲ ἀνάξιος k, οὐδὲν ἀνάξιος elh, οὐδὲ ἄξιος B. 5 συγχωρεῖτε elh. 6 ἐπαγγελίας elh. 7 μηδ' ἀγνοεῖθ' *om.* a. 8 ποτε] *add.*: βούλοιτ' ἂν $A^hg^2m^2$, βούλεται B, *del.* W.

σίων, ἀδικημάτων λέγω. Praesens autem tempus λέγω maxime adconmodatum est, quod orator in hac extrema parte accusationis vixdum absoluta quodammodo etiam nunc versari videtur.

§ 205. τὸν τῶν ὑπευθύνων νόμον] Exspectaveris περὶ τῶν ὑπευθύνων, sed cf. Frohberger Lys. vol. II 183.

κατεπαγγελλόμενος] Multo scitius Demosthenes viam sibi munivit, cf. 9: εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον κατηγόρησεν Αἰσχίνης, κἀγὼ περὶ αὐτοῦ τοῦ προβουλεύματος εὐθὺς ἂν ἀπελογούμην· ἐπειδὴ δ' οὐκ ἐλάττω λόγον τἆλλα διεξιὼν ἀνάλωκε καὶ τὰ πλεῖστα κατεψεύσατό μου, ἀναγκαῖον εἶναι νομίζω καὶ δίκαιον ἅμα βραχέα περὶ τούτων πρῶτον εἰπεῖν, ἵνα μηδεὶς ὑμῶν τοῖς ἔξωθεν λόγοις ἠγμένος ἀλλοτριώτερον τῶν ὑπὲρ τῆς γραφῆς δικαίων ἀκούῃ μου. Deinceps discernit inter λοιδορίας et κατηγορημένα. Nihil autem pro crimine habetur nisi quod ad reip. administrationem pertineat. Quo artificio contigit ut omnem iam orationem ad publicarum rerum explicationem convertere liceret. Cf. praeterea § 53. 56. simulat etiam eundem se quem adversarius tenuerit ordinem observaturum: τὴν γὰρ αὐτὴν τούτῳ ποιησάμενος τῶν γεγραμμένων τάξιν περὶ πάντων ἐρῶ καθ' ἕκαστον ἐφεξῆς καὶ οὐδὲν ἑκὼν (?) παραλείψω. 58: τὸ δὲ μὴ προσγράψαντα „ἐπειδὰν τὰς εὐθύνας δῷ“ στεφανοῦν καὶ ἀνειπεῖν ἐν τῷ θεάτρῳ τὸν στέφανον κελεῦσαι, κοινωνεῖν μὲν ἡγοῦμαι καὶ τοῦτο τοῖς πεπολιτευμένοις! Istae artes maiores fuerunt quam quae aut Aeschinis prudentia aut iudicum sapientia praecaveri possent! Cf. etiam 110. 111 (ἄνω καὶ κάτω διακυκῶν!) 120. 124. 126. 129 sq. comoedi etiam partes iam agere audet. 139—140. Haec fere qui consideraverit, facile, quid πάλαισμα δικαστηρίου nominetur, mente adsequetur. In his artibus oratoriis dominatur Demosthenes nec quisquam unus cum eo conparari potest.

βούλεται] Hoc verbum continet utrumque membrum totius sententiae.

σθε. μετενήνεκται γὰρ ὑμῖν τὰ τῆς πόλεως δίκαια· ὁ μὲν γὰρ κατήγορος ἀπολογεῖται, ὁ δὲ φεύγων τὴν γραφὴν κατηγορεῖ, οἱ δὲ δικασταὶ ἐνίοτε ὧν μέν εἰσι κριταὶ ἐπιλανθάνονται, ὧν δ' οὐκ εἰσὶ περὶ τούτων ἀναγκάζονται τὴν ψῆφον φέρειν. λέγει δὲ ὁ φεύγων, ἂν ἄρα ποθ' ἅψηται τοῦ πράγματος, οὐχ ὡς ἔννομα γέγραφεν, ἀλλ' ὡς ἤδη ποτὲ καὶ πρότερον ἕτερος τοιαῦτα γράψας ἀπέφυγεν. ἐφ' ᾧ καὶ νυνὶ μέγα φρονεῖν ἀκούω Κτησιφῶντα. ἐτόλμα 194
δ' ἐν ὑμῖν ποτε σεμνύνεσθαι Ἀριστοφῶν ἐκεῖνος ὁ Ἀζηνιεὺς λέγων ὅτι γραφὰς παρανόμων ἀπέφυγεν ἑβδομήκοντα καὶ πέντε. ἀλλ' οὐχὶ ὁ Κέφαλος ὁ παλαιὸς ἐκεῖνος, ὁ δοκῶν δημοτικώτατος γεγονέναι, οὐχ οὕτως, ἀλλ' ἐπὶ τοῖς ἐναντίοις ἐφιλοτιμεῖτο, λέγων ὅτι πλεῖστα πάντων γεγραφὼς ψηφίσματα οὐδεμίαν πώποτε γραφὴν ἔφυγε παρανόμων, καλῶς οἶμαι σεμνυνόμενος. ἐγράφοντο γὰρ ἀλλήλους παρανόμων οὐ μόνον οἱ διαπολιτευόμενοι, ἀλλὰ

1 μετήνεγκται e, μετήνεκται l. ὑμῖν Markl., ἡμῖν ekh, ὑμῶν x. 2 τὴν *om.* n. 4 οὐκ εἰσὶ Cob., οὐκ εἰσὶ δικασταὶ C. 5 ἐκφέρειν g. ἐὰν e. 7 τοσαῦτα A^h. 8 νῦν A^h. μεγαλοφρονεῖν klh. 9 ἡμῖν elh. ποτε *om.* e. 10 ἀπέφυγεν A^h, πέφευγεν B. 11 οὐχ A^h. 14 ἔφυγε Cob., ἔφευγε A^h, πέφευγε B.

Hoc mihi suspectum est propterea quod ratio et natura verbi *παραδέχεσθαι* efflagitat praepositionem *εἰς* accusativumque subiectum, cf. I 178: *πάντων ἀδικώτατον ἔθος εἰς τοὺς ἀγῶνας παραδέχεσθε.* Quare erant qui perfectum tempus *παραδέδεχθε* restituendum censerent. Sext. adv. rhet. 40 (p. 682 B): *ὅθεν καὶ ὁ Αἰσχ. κακὸν ἔθος φησὶν εἰς τὸ δικαστήριον παρῆλθεν· ὁ μὲν γὰρ κατήγορος κτλ.*

*ὑμῖν*] Dativus ethicus hoc loco significat, iuris iudiciorumque rationem vi et ludibrio Demosthenis in ipsum civium inconmodum mutatam esse. Hanc autem Demosthenis artem adumbravit Aeschines ipse I 175. 178.

§ 194. *ἐτόλμα*] Cf. ad § 131.
*Ἀριστοφῶν*] Schaefer I 122 sq.
*Κέφαλος*] Schaefer I 127 sq. Sauppe Or. frgm. 217. Hanc praecipuam Cephali laudem praedicavit etiam Dem. cor. 251. Cf. etiam 219: *καίτοι πολλοὶ παρ' ὑμῖν γεγόνασι ῥήτορες ἔνδοξοι καὶ μεγάλοι πρὸ ἐμοῦ, Καλλίστρατος ἐκεῖνος, Ἀριστοφῶν, Κέφαλος, Θρασύβουλος, ἕτεροι μυρίοι· ἀλλ' ὅμως οὐδεὶς πώποτε τούτων διὰ παντὸς ἔδωκεν ἑαυτὸν εἰς οὐδὲν τῇ πόλει, ἀλλ' ὁ μὲν γράφων οὐκ ἂν ἐπρέσβευσεν, ὁ δὲ πρεσβεύων οὐκ ἂν ἔγραψεν* (?).

*οἱ διαπολιτευόμενοι*] Exspectaveris *ἀντιπολιτευόμενοι*, sed cf. Harp. 56: *διαγορεύων· Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους κέχρηται τῷ διαγορεύων ἀντὶ τοῦ διάφορα καὶ οὐ ταὐτὰ λέγων. τὸ ἐναντίον γάρ ἐστι παρ' αὐτοῖς τὸ διαγορεύειν τῷ συναγορεύειν, ὥσπερ τὸ συμφέρεσθαι τῷ διαφέρεσθαι καὶ τὸ συμπολιτεύεσθαι τῷ διαπολιτεύεσθαι καὶ τὸ συμφωνεῖν τῷ διαφωνεῖν.*

καὶ οἱ φίλοι τοὺς φίλους, εἴ τι ἐξαμάρτοιεν εἰς τὴν πόλιν.
195 ἐκεῖθεν δὲ τοῦτο γνώσεσθε. Ἀρχῖνος γὰρ ὁ ἐκ Κοίλης
ἐγράψατο παρανόμων Θρασύβουλον τὸν Στειριέα, ἕνα
τῶν συγκατελθόντων, καὶ εἷλε νεωστὶ γεγενημένων αὐτῷ
τῶν εὐεργεσιῶν, ἃς οὐχ ὑπελογίσαντο οἱ δικασταί·
ἡγοῦντο γάρ, ὥσπερ τότε αὐτοὺς φεύγοντας ἀπὸ Φυλῆς
Θρασύβουλος κατήγαγεν, οὕτω νῦν κατελθόντας ἐξελαύ-
196 νειν. ἀλλ' οὐ νῦν, ἀλλὰ πᾶν τοὐναντίον γίγνεται· οἱ
γὰρ ἀγαθοὶ στρατηγοὶ ὑμῖν καὶ τῶν τὰς σιτήσεις τινὲς

1 ἐξαμάρτοιεν h, ἐξαμαρτάνοιεν C. 3 Στειριέα] *add.* C: γράψαντά τι (τι *om.* $A^h$) παρὰ τοὺς νόμους στεφανοῦν (*om.* M), *del.* Ham. 4 συγκατ. W, ἀπὸ φυλῆς αὐτῷ συγκ. elh, συγκ. αὐτῷ ἀπὸ φυλῆς Bk. 7 κατελθόντας W, μένοντας C. ἐξελαύνειν] *add.* $A^h$: γράφοντά τι παρὰ τοὺς νόμους, B: παρὰ τοὺς νόμους γράφοντά τι, *del.* W. 8 ἀλλὰ πᾶν $A^h$, ἀλλ' ἅπαν B. 9 ὑμῖν ek, ἡμῖν lh, ὑμῶν B.

§ 195. Ἀρχῖνος] Cf. § 187. Schaefer I 127. Blass, Gesch. der Beredts. 340. Aliorum beneficio testium scimus cur Thrasybulus ab Archino accusatus fuerit. Pseudoplut. in vita Lys. 835 f: ἐφ' οἷς γράψαντος αὐτῷ Θρασυβούλου πολιτείαν μετὰ τὴν κάθοδον ἐπ' ἀναρχίας τῆς πρὸ Εὐκλείδου ὁ μὲν δῆμος ἐκύρωσε τὴν δωρεάν, ἀπενεγκαμένου δ' Ἀρχίνου γραφὴν παρανόμων διὰ τὸ ἀπροβούλευτον εἰσαχθῆναι ἑάλω τὸ ψήφισμα, καὶ οὕτως ἀπελαθεὶς τῆς πολιτείας τὸν λοιπὸν ᾤκησε χρόνον ἰσοτελὴς ὤν. Max. Plan. ad Hermog. V 343 (W): Θρασύβουλος μετὰ τὴν τῶν τριάκοντα κατάλυσιν ἔγραψε τῷ Λυσίᾳ ψήφισμα περὶ τοῦ δεῖν αὐτὸν γενέσθαι πολίτην, καὶ κατηγορηθεὶς ὡς ἀπροβούλευτον ψήφισμα εἰσενεγκὼν — οὐ γὰρ ἦν πω καταστᾶσα ἡ βουλὴ — κατεδικάσθη χρημάτων· ὁ δὲ „οὐ μὰ Δία“ ἔφη „ἀλλὰ θανάτου· τί γὰρ τοιούτους ἔσωζον;“ Atque huc etiam illud pertinere puto, quod Plato Phaedr. 257c conmemorat: καὶ γάρ τις αὐτὸν (= Lysiam), ὦ θαυμάσιε, ἔναγχος τῶν πολιτικῶν τοῦτ' αὐτὸ λοιδορῶν ὠνείδιζε καὶ διὰ πάσης τῆς λοιδορίας ἐκάλει λογογράφον. Sauppe Ep. Crit. 128. Cf. etiam Schol. Laur. ap. Schultzium.

συγκατελθόντων] sc. τοῖς ἀπὸ Φυλῆς, cuius rei memoria omnium in ore erat. Similiter emendandum est Lys. XIII 77: ὡς ἐπὶ Φυλήν τ' ᾤχετο καὶ συγκατῆλθε, ubi grammatici addiderunt: τοῖς ἀπὸ Φυλῆς. Cf. Lys. XXXI 9: ἐπὶ κατειργασμένοις μᾶλλον ἐλθεῖν βουλόμενος ἢ συγκατελθεῖν κατεργασάμενός τι τῶν τῇ κοινῇ πολιτείᾳ συμφερόντων.

νῦν — ἐξελαύνειν] Grammatici explicandi et interpretandi studio adiunxerunt: γράφοντά τι παρὰ τοὺς νόμους. At hoc si orator eloqui vellet, paulo ante pronuntiare debuerat, qua tandem virtute vel quibus artibus Thrasybulus exsulem populum restituisset. Accedit quod sola sententia ista οὕτω νῦν κατελθόντας ἐξελαύνειν non modo plane expressa est sed etiam multo acrior et vehementior videtur. Denique pronomen infinitum (γράφοντά τι) in hac sententiae conformatione nimis est languidum et putidum. Atque istud emblema supra lineam potius quam intra versum in archetypo fuisse apparet ex recensionum dissensu.

§ 196. οἱ ἀγαθοὶ στρατηγοί] Epitheton Aeschines adiecit non

εὑρημένων ἐξαιτοῦνται τὰς γραφὰς τῶν παρανόμων, οὓς ὑμεῖς ἀχαρίστους εἶναι δικαίως ἂν ὑπολαμβάνοιτε· εἰ γάρ τις ἐν δημοκρατίᾳ τετιμημένος, ἐν τοιαύτῃ πολιτείᾳ ἣν οἱ θεοὶ καὶ οἱ νόμοι σώζουσι, τολμᾷ βοηθεῖν τοῖς τὰ παράνομα γράφουσι, καταλύει τὴν πολιτείαν ὑφ' ἧς τετίμηται. τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ δικαίῳ συνηγόρῳ; 197
ἐγὼ λέξω. εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα, ὅταν εἰσίῃ γραφὴ παρανόμων εἰς τὸ δικαστήριον. ἐγχεῖται γὰρ τὸ μὲν πρῶτον ὕδωρ τῷ κατηγόρῳ καὶ τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ, τὸ δὲ δεύτερον τῷ τὴν γραφὴν φεύγοντι καὶ τοῖς εἰς αὐτὸ τὸ πρᾶγμα λέγουσιν· ἐπειδὰν δὲ τῇ

1 εὑρημένων] *add.* C: ἐν τῷ πρυτανείῳ, *del.* W. 2 ὑπολαμβάνητε kln. 3 πόλει ln. 4 τὰ *add.* W. 6 δικαίῳ συνηγ. A^h, δικαίῳ συνηγ. καὶ σώφρονι a, συνηγ. δικαίῳ καὶ σώφρονι gmn. 10 δεύτερον W, δεύτερον ὕδωρ C.

ut virtutis memoriam excitaret sed ut exspectationem hominum praetorum virtutibus actionibusque contrariam designaret. Atque huic occultae vituperationi dativi etiam ethici (ὑμῖν) usurpatio inservire videtur. Cf. § 73. Din. I 1. 53.

τὰς σιτήσεις] sc. ἐν πρυτανείῳ, pro qua grammatici falso: ἐν τῷ πρυτανείῳ. Nam articulus in hac formula deesse solet, cf. 178 Dem. 19, 330. Maetzn. ad Din. I 101, Kleyn Mnemos. VIII 101. Idemque emblema infecisse arbitror Aesch. II 80: καὶ γὰρ τὰς εἰκόνας ἵστατε καὶ τὰς προεδρίας καὶ τοὺς στεφάνους καὶ τὰς [ἐν πρυτανείῳ] σιτήσεις δίδοτε οὐ τοῖς τὴν εἰρήνην ἀπαγγείλασιν ἀλλὰ τοῖς τὴν μάχην νικήσασιν, ubi item aliquot libri ἐν τῷ πρυτανείῳ. Cf. etiam II 46. 53: ἐπαινέσαι καὶ καλέσαι [ἐπὶ δεῖπνον] εἰς τὸ πρυτανεῖον εἰς αὔριον.

τοιαύτῃ ἣν] Cf. Frohberger Lys. XIII 13.

οἱ θεοὶ καὶ οἱ νόμοι] Absurde hic deos et leges coniunctim nominari tamquam conmunes democratiae sospitatores existimavit Hamaker Mnemos. VIII 15. Quare legendum censet: οἱ θεσμοὶ καὶ οἱ νόμοι. Cui rei minus hic locus est quam deorum conmemorationi. Atque οἱ θεοὶ καὶ οἱ νόμοι non idem significat atque καὶ οἱ θεοὶ καὶ οἱ νόμοι. Nam in illa verborum copulatione haec inest sententia: praeter deorum voluntatem maxime reip. salutem in legum conservatione positam esse.

§ 197. ἀνδρὶ δικαίῳ συνηγόρῳ] = quaenam oratio convenit iusto ac probo homini qui patroni partes susceperit? Nam illud dativus est obiecti hoc dativus appositionis. Bremi.

διαιρεῖται] Harp. 58: διαμεμετρημένη ἡμέρα· μέτρον τί ἐστιν ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον· ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί. πρὸς δὴ τοῦτο ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες. διενέμετο δὲ τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τρίτον τοῖς δικάζουσι. ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν, ὥσπερ καὶ Αἰσχ. ἐν τῷ κ. Κτ. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διδάσκει περὶ τούτων (fr. 423).

καὶ τοῖς νόμοις] Schol.: ὡς τοῦ κατηγόρου ὡς ἐπὶ τὸ πολὺ διὰ τὸ παρὰ τοὺς νόμους τι πράττεσθαι κατηγοροῦντος.

τοῖς . . λέγουσιν] Schol.: ἐξῆν

πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον, ἤδη τὸ τρίτον ὕδωρ
ἐγχεῖται τῇ τιμήσει καὶ τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμετέ-
198 ρας. ὅστις μὲν οὖν ἐν τῇ τιμήσει τὴν ψῆφον αἰτεῖ, τὴν
ὀργὴν τὴν ὑμετέραν παραιτεῖται· ὅστις δ' ἐν τῷ πρώτῳ
λόγῳ τὴν ψῆφον αἰτεῖ, νόμον αἰτεῖ, ὅρκον αἰτεῖ, δημο-
κρατίαν αἰτεῖ, ὧν οὔτε αἰτῆσαι οὐδὲν ὅσιον οὐδενὶ οὔτ'
αἰτηθέντα ἑτέρῳ δοῦναι. κελεύσατε οὖν αὐτοὺς, ἐάσαν-
τας τὴν πρώτην ψῆφον κατὰ τοὺς νόμους διενεγκεῖν,
199 ἀπαντᾶν εἰς τὴν τίμησιν. ὅλως δ' ἔγωγε, ὦ ἄνδρες Ἀθη-
ναῖοι, ὀλίγου δέω εἰπεῖν, ὡς καὶ νόμον δεῖ τεθῆναι ἐπὶ
ταῖς γραφαῖς μόναις ταῖς τῶν παρανόμων, μὴ ἐξεῖναι
μήτε τῷ κατηγόρῳ συνηγόρους παρασχέσθαι μήτε τῷ τὴν
γραφὴν φεύγοντι. οὐ γὰρ ἀόριστόν ἐστι τὸ δίκαιον, ἀλλ'
ὡρισμένον τοῖς νόμοις τοῖς ὑμετέροις. ὥσπερ γὰρ ἐν τῇ
τεκτονικῇ, ὅταν εἰδέναι βουλώμεθα τὸ ὀρθὸν καὶ τὸ μή,
200 τὸν κανόνα προσφέρομεν ᾧ διαγιγνώσκεται, οὕτω καὶ ἐν
ταῖς γραφαῖς ταῖς τῶν παρανόμων παράκειται κανὼν τοῦ
δικαίου τουτὶ τὸ σανίδιον, τὸ ψήφισμα καὶ οἱ παραγε-

1 *μὴ om.* A[h]. *ὕδωρ om.* h[1]. 3 *τὴν ὀργὴν . . . αἰτεῖ* (5) *om.* e. 4 *αἰτεῖται* gmn. 5 *ὅρκον αἰτεῖ om.* B, cf. Rhet. Gr. III 28. 30. 54. 74. 6 *οὐδέν ἐστιν* A[h]. 8 *τὴν πρώτην* W, *τὴν πρώτην ὑμᾶς* A[h], *ὑμᾶς τὴν πρ.* B. 10 *τιθέναι* l. 11 *μόναις* k, *om.* n, *μόνον* x. *ταῖς τῶν* W, *ταῖς* h, *τῶν* x. 12 *τὴν γραφὴν φεύγοντι* W, *τὴν γραφὴν τῶν παρανόμων φεύγ.* C. 13 *φεύγ.*] *γράφοντι* lh. 17 *ταῖς τῶν* k, *τῶν* x. 18 *καὶ ante τὸ* C, *del.* Sauppe.

γὰρ καλέσαι οὓς ἂν ἐθέλωσι συνηγορίαν.

*τῇ πρώτῃ ψήφῳ*] Habita enim et accusatione et defensione iudices sententias ferebant, utrumne reus crimine teneretur an absolveretur. Quodsi innocentem reum esse maiore sententiarum parte conprobatum esset, etiamsi accusator ne quintam quidem partem tulisset, nihil iam erat cur amplius disceptaretur. At noxius si declaratus esset, poenae vel litis fiebat aestimatio.

§ 198. *τὴν ψῆφον αἰτεῖ*] i. e. ut in suum favorem et gratiam sententia feratur. Dem. XXI 5: *εἰ μὲν οὖν παρανόμων ἢ παραπρεσβείας ἤ τινος ἄλλης αἰτίας ἤμελλον αὐτοῦ κατηγορεῖν, οὐδὲν ἂν ὑμῶν ἠξίουν δεῖσθαι,* νομίζων τῷ μὲν κατηγόρῳ περὶ τῶν τοιούτων προσήκειν ἐλέγχειν μόνον, τῷ δὲ φεύγοντι καὶ παραιτεῖσθαι (= deprecari).

*ὅρκον αἰτεῖ*] Celeberrimum istuc erat rhetorum exemplum et conversionis (= *ἀντιστροφῆς*) et conmorationis (*ἐπιμονῆς*), cf. Alex. III 28. 30 (Sp.). Phoebam. III 54. Tib. III 74. Praeterea cf. § 200. 202. Cornific. IV § 19: nam cum istos ut absolvant rogas, ut periurent rogas, ut existimationem neglegant, ut leges tuae libidini largiantur, rogas.

*διενεγκεῖν*] = nullo obiecto inpedimento pro iure ac religione sententiam ferre.

§ 200. *σανίδιον*] Schol.: *λελευκωμένον πινάκιον, ἐν ᾧ ἡ γραφὴ γέγραπται ἣν ἐγράψατο*

γραμμένοι νόμοι. ταῦτα συμφωνοῦντα ἀλλήλοις ἐπιδείξας κατάβαινε· καὶ τί δεῖ σε Δημοσθένην παρακαλεῖν; ὅταν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν παρακαλῇς κακοῦργον ἄνθρωπον καὶ τεχνίτην λόγων, κλέπτεις τὴν ἀκρόασιν, βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν.

201 Τίς οὖν ἐστιν ἀποτροπὴ τῶν τοιούτων λόγων; ἐγὼ προερῶ. ἐπειδὰν προελθὼν ἐνταυθοῖ Κτησιφῶν διεξέλθῃ πρὸς ὑμᾶς τοῦτο δὴ τὸ συντεταγμένον αὐτῷ προοίμιον, ἔπειτ' ἐνδιατρίβῃ καὶ μὴ ἀπολογῆται, ὑπομνήσατ' αὐτὸν ἄνευ θορύβου τὸ σανίδιον λαβεῖν καὶ τοὺς νόμους τῷ ψηφίσματι παραναγνῶναι. ἐὰν δὲ μὴ προσποιῆται ὑμῶν ἀκούειν, μηδὲ ὑμεῖς ἐκείνου ἐθέλετε· οὐ γὰρ τῶν φευ-

2 δημοσθένη a. 8 προερῶ A, προσερῶ h, ἐρῶ B. προελθ. A, προσελθ. B. 9 δὴ *om.* l, γὰρ h. 11 ἄνευ θορύβου B, ἀθορύβως A, ἀγαθορύβως h. λαβὼν a. 13 ἐκεῖνον eh. ἐθέλετε W, ἐθ. ἀκούειν C, *del.* Cob.

ὁ κατήγορος καὶ τὸ ψήφισμα τὸ κατηγορούμενον καὶ οἱ νόμοι. Iste libellus pro tribunali, ut quorum interesset cognosci posset, publice proponebatur. Cf. Meier-Schoem. Proz. 604 sq.

καὶ τί δεῖ κτλ.] Sententiarum ordo hic mihi apparere videtur: Iuste si agere voles, leges et rogationem tuam congruere inter se demonstra. Quo facto nihil relinquitur quam iudicum sententia. Quidquid enim aliud praeterea institueris, contra ius et fas futurum est. Et Demosthenem quidem quid tandem est cur perorare velis? Iustitiam certe in defendendo ille non est secuturus. Contrariam autem defensionis viam initurus si huiuscemodi hominem malitiosum et versutum in auxilium vocabis, apparet et iudicum aures decipere (cf. § 99) et damnum reipublicae adferre et democratiam evertere te velle.

§ 201—214: Quasi necessarium iudicibus consilium daturus, cuius recordatione Demosthenis artes et insidias effugerent, optimam sibi viam paravit, ut et crimina longa oratione exposita denuo repeteret iudicumque animis inculcaret et Demosthenis dicendi facultatem in suspicionem vocaret.

§ 201. προερῶ] Cf. 179. 207. Frequentior quidem formula est: ἐγὼ ἐρῶ.

τὸ συντεταγμένον προοίμιον] Prooemium quodam modo Ctesiphontis erat oratio, quia defensionem ipsam Demostheni relicturus erat (τῷ συνηγόρῳ). Atque hoc ipsum prooemium Ctesipho et Demosthenes conmuni opera et consilio constituisse arguuntur. Cf. Plat. Legg. 930e: φρονῆσαι δὲ χρὴ περὶ θεῶν θεραπείας τοιόνδε προοίμιον ἂν γενόμενον, εἰς τὰς τῶν γεννησάντων τιμάς τε καὶ ἀτιμίας ὀρθῶς συντεταγμένον.

ἄνευ θορύβου] Etenim Ctesiphontis libertas et voluntas si constringeretur, querellas eum editurum et tamquam clamores veri simile erat.

ἐκείνου] Supplenda auditoribus reliquit ἀκούειν προσποιεῖσθε, vel ut grammatici sibi finxerunt: ἐθέλετε ἀκούειν. Cf. Cobet Mnem. IV 299. N. L. 103.

γόντων τὰς δικαίας ἀπολογίας εἰσεληλύθατε ἀκροασόμενοι, 202 ἀλλὰ τῶν ἐθελόντων δικαίως ἀπολογεῖσθαι. ἐὰν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν παρακαλῇ Δημοσθένην, μάλιστα μὲν μὴ προσδέχεσθε, οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, μηδ' ἐν ἀρετῇ τοῦθ' ὑμῶν μηδεὶς καταλογιζέσθω, ὃς ἂν ἐπανερομένου Κτησιφῶντος εἰ καλέσῃ Δημοσθένην πρῶτος ἀναβοήσῃ „κάλει, κάλει.“ ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς. ἂν δ' ἄρα ὑμῖν δόξῃ ἀκούειν, ἀξιώ-

1 τὰς δικαίας Ham., τὰς οὐ δικ. C, cf. Franke Iahn. Ann. 93, 597. 3 παρακαλ. δημοσθ. A[h], δημ. παρ. B. 4 προσδέχεσθε] add. A[h] σοφιστὴν, B: κακοῦργον ἄνθρωπον, del. W, cf. § 16. οἰόμενον . . ἀναιρήσειν etiam del. B fort. rectius. ῥήμασι om. A[h]. 5 ὑμῖν elh. 6 ἂν om. gl. 7 καλέσῃ Bekk., καλέσειε A[h], καλέσω B. alterum κάλει om. elh, Rhet. Gr. III 10. 55. 30. 319. II 346. 8 τὴν om. A. 9 δ' om. n

ἀκροασόμενοι] Admonet scilicet iudicum iurisiurandi, cf. Dem. 24, 151: καὶ ἀκροάσομαι τοῦ κατηγόρου καὶ τοῦ ἀπολογουμένου ὁμοίως ἀμφοῖν. Hanc autem legem in suum quisque conmodum explicare studebat (iuris interpretatio). Et Aeschines quidem sic existimat, si adversarius iusta utatur defensione, iudices religione teneri ut audiant, si minus, ad audiendum iam iudices nequaquam adactos esse. Contraque Demosthenes 18, 2 τὸ ὁμοίως ἀμφοῖν ἀκροάσεσθαι sic interpretatur: τοῦτο δ' ἐστὶν οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδὲν οὐδὲ τὸ τὴν εὔνοιαν ἴσην ἀμφοτέροις ἀποδοῦναι, ἀλλὰ καὶ τὸ τῇ τάξει καὶ τῇ ἀπολογίᾳ ὡς βεβούληται καὶ προῄρηται τῶν ἀγωνιζομένων ἕκαστος οὕτως ἐᾶσαι χρήσασθαι. Utriusque interpretatio manca et debilis est.

§ 202. μὴ προσδέχεσθε] Multo etiam durius est quod aliquando Demosthenes rei vocem admitti vetuerat, cf. Aesch. II 1: τὴν ὠμότητα, ὃς ἐτόλμησε παρακελεύσασθαι τὴν τοῦ κινδυνεύοντος φωνὴν μὴ ὑπομένειν.

τοὺς νόμους] scilicet eas leges, in quibus haec omnis causa vertitur, contra quas Ctesipho rogationem suam tulisse videbatur. Et hanc artem ingeniose et libere praestitit Demosthenes, qui legum ratione praetermissa statim involaverit in publicae actionis suae conmemorationem, deinde cum inflammasset iudices, pauca disseruerit de statu legitimo, denique redierit ad reipublicae casus et officia.

εἰ καλέσῃ] Cf. II 64. 68.

ἐν ἀρετῇ] = ὡς φιλάνθρωπόν τι. Schol.

κάλει] Perspicitur hinc, quantum fuerit Atheniensium studium Demosthenis audiendi, cum, simulac quis eius mentionem fecerat, solerent alta voce clamare, ut vocetur orator et progrediatur. Bremi. Quasi vero ista conmemoratio fortuita esset! Quasi vero si quis interrogasset, num sibi advocare liceret, si iudices adnuerent, aliud quidquam respondere possent quam κάλει κάλει = licet vero.

καλεῖς κτλ.] Demetr. περὶ ἑρμ. 268: τὸ σχῆμα τοῦτο τριπλοῦν· καὶ γὰρ ἐπαναφορά ἐστι καὶ ἀσύνδετον καὶ ὁμοιοτέλευτον. καὶ δεινότης ἤθροισται ἐκ τῶν τριῶν, εἰ δ' εἴποι τις οὕτως „ἐπὶ σαυτὸν καὶ τοὺς νόμους καὶ τὴν δημοκρατίαν καλεῖς“ ἅμα τοῖς σχήμασιν ἐξαιρήσει καὶ τὴν δεινότητα. Cf. etiam Hermog. II

σατε τὸν Δημοσθένην τὸν αὐτὸν τρόπον ἀπολογεῖσθαι ὅνπερ κἀγὼ κατηγόρηκα. ἐγὼ δὲ πῶς κατηγόρηκα; ἵνα καὶ τοῦθ' ὑπομνήσω ὑμᾶς, οὔτε τὸν ἴδιον βίον τὸν Δη- 203
μοσθένους πρότερον διεξῆλθον οὔτε τῶν ἀδικημάτων τῶν δημοσίων οὐδενὸς πρότερον ἐμνήσθην, ἄφθονα δήπου καὶ πολλὰ ἔχων, ἢ πάντων γ' ἂν εἴην ἀπορώτατος· ἀλλὰ πρῶτον μὲν τοὺς νόμους ἐπέδειξα ἀπαγορεύοντας μὴ στεφανοῦν τοὺς ὑπευθύνους, ἔπειτα τὸν ῥήτορα ἐξήλεγξα γράψαντα Δημοσθένην ὑπεύθυνον ὄντα στεφανοῦν οὐδὲν προβαλόμενον, οὐδὲ προσγράψαντα „ἐπειδὰν δῷ τὰς εὐθύνας," ἀλλὰ παντελῶς καὶ ὑμῶν καὶ τῶν νόμων καταπεφρονηκότα· καὶ τὰς ἐσομένας πρὸς ταῦτα προφάσεις εἶπον, ἃς ἀξιῶ καὶ ὑμᾶς διαμνημονεύειν. δεύτερον δ' 204
ὑμῖν διεξῆλθον τοὺς περὶ τῶν κηρυγμάτων νόμους, ἐν οἷς διαρρήδην ἀπείρηται τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας· ὁ δὲ ῥήτωρ ὁ φεύγων τὴν γραφὴν οὐ τοὺς νόμους μόνον παραβέβηκεν ἀλλὰ καὶ τὸν καιρὸν τῆς ἀναρρήσεως καὶ τὸν τόπον, κελεύων οὐκ ἐν τῇ ἐκκλησίᾳ ἀλλ' ἐν τῷ θεάτρῳ τὴν ἀνάρρησιν γίγνεσθαι, οὐδ' ἐκκλησιαζόντων Ἀθηναίων ἀλλὰ μελλόντων τραγῳδῶν εἰσιέναι. ταῦτα δ' εἰπὼν μικρὰ μὲν περὶ τῶν ἰδίων εἶπον, τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων

3 τοῦθ' *add.* W. τὸν B, τοῦ A[h]. 4 τῶν δημοσ. ἀδικ. B. 5 πρότερον οὐδενὸς a. 6 ἔχων W, λέγειν ἔχων A[h], ἔχων λέγειν B. 7 ἐπέδειξα τοὺς νόμους A, ἀπέδειξα τ. ν. h. 10 προβαλόμ. Steph., προβαλλ. C. προσγρ. h, προσεγγρ. C, cf. § 11. 12 ταύτας B. 20 οὐκ A[b]. 22 οἰκείων a.

346. Phoeb. III 55. Alex. III 10. 30.

ἵνα ὑπομνήσω] Huiuscemodi enuntiata veterum si cum nostra dicendi consuetudine conparaveris, sententia haec deesse videtur: so sage ich, so erkläre ich, so wiederhole ich etc.

§ 203. ἔχων] sc. λέγειν, quod facile ex ἐμνήσθην animo repetatur.

ἀπορώτατος] Hoc interdum de eo dicitur, qui propter tarditatem ingenii nihil dicendo expedire queat. Bremi.

προβαλόμενον] Aoristum tuetur Schol. interpretatio: ἀντὶ τοῦ προτάξαντα πρὸ τοῦ εἰπεῖν στεφανοῦν, ἀντὶ τοῦ οὐκ εἰπόντα, ἐπειδὰν τὰς εὐθύνας δῷ.

παντελῶς] = plane, cf. Dem. 18, 11: παντελῶς εὔηθες.

§ 204. καὶ τὸν τόπον] Cf. ad § 34.

περὶ τῶν δημοσίων] Grammatici ex 203 addiderunt ἀδικημάτων ut ex hoc loco supra adscripserunt δημοσίων. Nam hic quidem ἀδικημάτων tolerari non potest, quod simul revocandum esset ad περὶ τῶν ἰδίων, quasi publica et domestica facinora distinguerentur. Hoc iam Reiskius perspexisse videtur cum scripsit: τὰ δὲ πλεῖστα περὶ τῶν δημο-

205 [ἀδικημάτων] λέγω. οὕτω δὴ καὶ τὸν Δημοσθένην ἀξιώσατε ἀπολογεῖσθαι πρὸς τὸν τῶν ὑπευθύνων νόμον πρῶτον, πρὸς τὸν περὶ τῶν κηρυγμάτων δεύτερον, τρίτον δὲ ὡς οὐδὲ ἀνάξιός ἐστι τῆς δωρεᾶς. ἐὰν δ' ὑμῶν δέηται συγχωρῆσαι αὐτῷ περὶ τῆς τάξεως τοῦ λόγου, κατεπαγγελλόμενος ὡς ἐπὶ τῇ τελευτῇ τῆς ἀπολογίας λύσει τὸ παράνομον, μὴ συγχωρεῖτε, μηδ' ἀγνοεῖθ' ὅτι πάλαισμα τοῦτ' ἐστὶ δικαστηρίου· οὐ γάρ εἰσαῦθίς ποτε πρὸς τὸ παράνομον ἀπολογεῖσθαι, ἀλλ' οὐδὲν ἔχων δίκαιον εἰπεῖν ἑτέρων παρεμβολῇ πραγμάτων εἰς λήθην ὑμᾶς βούλεται
206 τῆς κατηγορίας ἐμβαλεῖν. ὥσπερ οὖν ἐν τοῖς γυμνικοῖς

1 ἀπολογ. ἀξιώσατε g. 2 νόμων lm. 3 πρὸς $A^h$, καὶ B, *om* M. τρίτον δὲ] *add.* C: τὸ (τὸν a) μέγιστον λέγω, *del.* W, τὸ μέγιστον λεγέτω Ham., *quod ipse conieceram, nisi hoc verbum prorsus ab ista re alienum esse viderem.* 4 οὐδὲ ἀνάξιος k, οὐδὲν ἀνάξιος elh, οὐδὲ ἄξιος B. 5 συγχωρεῖτε elh. 6 ἐπαγγελίας elh. 7 μηδ' ἀγνοεῖθ' *om.* a. 8 ποτε] *add.*: βούλοιτ' ἂν $A^hg^2m^2$, βούλεται B, *del.* W.

σίων, ἀδικημάτων λέγω. Praesens autem tempus λέγω maxime adconmodatum est, quod orator in hac extrema parte accusationis vixdum absoluta quodammodo etiam nunc versari videtur.

§ 205. τὸν τῶν ὑπευθύνων νόμον] Exspectaveris περὶ τῶν ὑπευθύνων, sed cf. Frohberger Lys. vol. II 183.

κατεπαγγελλόμενος] Multo scitius Demosthenes viam sibi munivit, cf. 9: εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον κατηγόρησεν Αἰσχίνης, κἀγὼ περὶ αὐτοῦ τοῦ προβουλεύματος εὐθὺς ἂν ἀπελογούμην· ἐπειδὴ δ' οὐκ ἐλάττω λόγον τἆλλα διεξιὼν ἀνάλωκε καὶ τὰ πλεῖστα κατεψεύσατό μου, ἀναγκαῖον εἶναι νομίζω καὶ δίκαιον ἅμα βραχέα περὶ τούτων πρῶτον εἰπεῖν, ἵνα μηδεὶς ὑμῶν τοῖς ἔξωθεν λόγοις ἠγμένος ἀλλοτριώτερον τῶν ὑπὲρ τῆς γραφῆς δικαίων ἀκούῃ μου. Deinceps discernit inter λοιδορίας et κατηγορημένα. Nihil autem pro crimine habetur nisi quod ad reip. administrationem pertineat. Quo artificio contigit ut omnem iam orationem ad publicarum rerum explicationem convertere liceret. Cf. praeterea § 53. 56. simulat etiam eundem se quem adversarius tenuerit ordinem observaturum: τὴν γὰρ αὐτὴν τούτῳ ποιησάμενος τῶν γεγραμμένων τάξιν περὶ πάντων ἐρῶ καθ' ἕκαστον ἐφεξῆς καὶ οὐδὲν ἑκὼν (?) παραλείψω. 58: τὸ δὲ μὴ προσγράψαντα „ἐπειδὰν τὰς εὐθύνας δῷ“ στεφανοῦν καὶ ἀνειπεῖν ἐν τῷ θεάτρῳ τὸν στέφανον κελεῦσαι, κοινωνεῖν μὲν ἡγοῦμαι καὶ τοῦτο τοῖς πεπολιτευμένοις! Istae artes maiores fuerunt quam quae aut Aeschinis prudentia aut iudicum sapientia praecaveri possent! Cf. etiam 110. 111 (ἄνω καὶ κάτω διακυκῶν!) 120. 124. 126. 129 sq. comoedi etiam partes iam agere audet. 139—140. Haec fere qui consideraverit, facile, quid πάλαισμα δικαστηρίου nominetur, mente adsequetur. In his artibus oratoriis dominatur Demosthenes nec quisquam unus cum eo conparari potest.

βούλεται] Hoc verbum continet utrumque membrum totius sententiae.

ἀγῶσιν ὁρᾶτε τοὺς πύκτας περὶ τῆς στάσεως ἀλλήλοις διαγωνιζομένους, οὕτω καὶ ὑμεῖς ὅλην τὴν ἡμέραν ὑπὲρ τῆς πόλεως περὶ τῆς τάξεως τοῦ λόγου μάχεσθε, καὶ μὴ ἐᾶτε αὐτὸν εἰς τοὺς ἔξω τοῦ παρανόμου λόγους περιίστασθαι, ἀλλ' ἐγκαθήμενοι καὶ ἐνεδρεύοντες εἰσελαύνετε αὐτὸν εἰς τοὺς τοῦ παρανόμου λόγους, καὶ τὰς ἐκτροπὰς αὐτοῦ ἐπιτηρεῖτε. ἀλλ' ἃ δὴ συμβήσεται ὑμῖν, ἐὰν μὴ 207
τοῦτον τὸν τρόπον τὴν ἀκρόασιν ποιῆσθε, ταῦθ' ὑμῖν ἤδη δίκαιός εἰμι προειπεῖν. ἐπεισάξει γὰρ τὸν γόητα καὶ

1 ἀλλήλους amn. 3 τοῦ λόγου W, τοῦ λόγου αὐτῷ $A^h$, αὐτῷ τοῦ λόγου B, αὐτοῦ (ω suprascr.) τ. λ. g, *debuerat saltem* τούτῳ. 4 εἰς τοὺς *om.* B. 5 ἐνεδρεύοντες] *add.* $A^h$: ἐν τῇ ἐκκλησίᾳ, B: ἐν τῇ ἀκροάσει, cf. Plin. ep. IX 26, 11. 6 τοῦ παρανόμου $A^h$, παρανόμους Plin., τοῦ πράγματος B *ex* I 176. αὐτοῦ W, αὐτοῦ τῶν λόγων C. 7 ἀλλ' *om.* $A^h$. μὴ *add.* Taylor. 8 ποιῆσθε B, ποιήσησθε $A^h$, cf. § 8. τοῦθ' $A^h$. 9 γὰρ *om.* klnh.

§ 206. τοὺς πύκτας] Haec similitudo eo praeclarior videbitur si consideraveris eiusdem rei notitiam iam contineri in nomine πάλαισμα (Fechterstreich).

τοὺς ἔξω λόγους] Dem. 18, 9 in optimis libris repertum est τοῖς ἔξωθεν λόγοις, in deterioribus ἔξω scriptum exstat. Dicebatur ἔξω τοῦ πράγματος λοιδορεῖν, ἔξω τῆς ὑποθέσεως λέγειν, Hyp. II 7, 25: αἱ ἔξωθεν διαβολαί. Sed illud nescio an grammaticorum aut librariorum securitati debeatur. Quodsi Aeschines 56 dixit ὅσοι ἔξωθεν περιεστᾶσιν, II 5: τῶν ἔξωθεν περιεστηκότων, contraque paulo infra 207 τοῖς ἔξω περιεστηκόσι traditur, non modo probabile sed necessarium est in hac causa emendari: τοῖς ἔξωθεν περιεστηκόσι, id quod proposuit Kleyne Mnemos. VIII 97, cf. Dem. 18, 196. Herod. 9, 5.

ἐγκαθήμενοι — εἰσελαύνετε] Plin. ep. 9, 26, 11: num autem Aeschines ipse his quae in Demosthene carpebat abstinuit? Laudat deinceps § 16. 101. 206, cum ita pergit: quod adeo probavit ut repetat, ἀλλ' ὥσπερ ἐν ταῖς ἱπποδρομίαις εἰς τὸν τοῦ πράγματος αὐτὸν δρόμον εἰσελαύνετε (I 176). Ex hoc exemplo auctor alterius recensionis πράγματος huc adsumpsisse videtur, nisi praepositionis περὶ conpendium hoc nomine explicare voluerat. Cf. etiam Quintil. III 6, 5.

ἐκτροπάς] Aeschines tropice adhibuit de digressione oratoris, tamquam ferae, quae in saltu a venatoribus inclusa retibusque undique cincta repente occulta via erumpere studeat. Exposuit de hoc vocabulo Victorius Var. Lectt. XIV 5. Bremi.

§ 207. τοῦτον τὸν τρόπον] Aeschines quasi praedicturus, quas artes Demosthenis qua ratione iudices elusuri videantur, re vera hoc loco utitur, ut Demosthenis in dicendo facultatem describat et in suspicionem inducat.

ἐπεισάξει] Tropus ab eo sumptus qui personam in scenam inducit. Bremi. Et praepositio ἐπὶ designat, Ctesiphontem ipsum discessurum suoque loco Demosthenis personam inducturum, cf. Plut. Mor. 717 c: ἅμα τῆς τύχης, ὡς Τίμαιος ἔφη, τὸν μιμητὴν ἐξαγούσης τῶν τραγικῶν παθῶν καὶ τὸν ἀγωνιστὴν ἐπεισαγούσης.

γόητα] Cf. II 153: συμπέπλεγμαι δ' ἐν τῇ πολιτείᾳ καθ' ὑπερβολὴν ἀνθρώπῳ γόητι καὶ

*βαλαντιοτόμον καὶ διατετμηκότα τὴν πολιτείαν. οὗτος κλάει μὲν ῥᾷον ἢ οἱ ἄλλοι γελῶσιν, ἐπιορκεῖ δὲ πάντων προχειρότατα· οὐκ ἂν θαυμάσαιμι δὲ εἰ μεταβαλλόμενος τοῖς ἔξωθεν περιεστηκόσι λοιδορήσεται, φάσκων τοὺς μὲν ὀλιγαρχικοὺς ὑπ' αὐτῆς τῆς ἀληθείας διηριθμημένους ἥκειν πρὸς τὸ τοῦ κατηγόρου βῆμα, τοὺς δὲ δημοτικοὺς*
208 *πρὸς τὸ τοῦ φεύγοντος. ὅταν δὴ τὰ τοιαῦτα λέγῃ, πρὸς μὲν τοὺς στασιαστικοὺς λόγους ἐκεῖνο αὐτῷ ὑποβάλλετε, ὅτι „ὦ Δημόσθενες, εἰ σοὶ ἦσαν ὅμοιοι οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες, οὐκ ἄν ποθ' ἡ δημοκρατία κατέστη. νῦν δὲ ἐκεῖνοι μὲν μεγάλων κακῶν συμβάντων ἔσωσαν τὴν πόλιν τὸ κάλλιστον ἐκ παιδείας ῥῆμα φθεγξάμενοι, μὴ μνησικακεῖν· σὺ δὲ ἑλκοποιεῖς, καὶ μᾶλλόν σοι μέλει τῶν αὐθημερὸν λόγων ἢ τῆς σωτηρίας τῆς*

1 *βαλλαντ.* a. 2 *κλάει* m², *κλαίει* x. *ῥαδίως* B. *οἱ ἄλλοι* k, *ἄλλοι* x. 4 *ἔξωθεν* Kleyne, *ἔξω* C. 7 *τὰ τοιαῦτα* Aʰ, *ταῦτα* B. 9 *ὅτι add.* Aʰ. *ὅμοιοι ἦσαν σοι* Aʰ 10 *ποτε ἤδη* g. 14 *αὐθημερὸν* (ων superscr.) k, *αὐθημέρων* elh.

*πονηρῷ*. III 137: *οὐδεὶς πώποτε τῶν πάλαι πονηρῶν τοιοῦτος μάγος καὶ γόης ἐγένετο.* Din. I 66: *ἐὰν παρακρουσθῆτε ὑπὸ τῆς τούτου γοητείας.* Ceterum magnam hoc loco corruptelam subesse, animadverterunt Bake et Franke, cf. Iahn. Ann. 93, 600. Nam verba illa: *ἐπεισάξει γὰρ τὸν γόητα* ad neutrum pertinent *τρόπον τῆς ἀκροάσεως*. Nec ad verbum *ἐπεισάξει*, ut ex proxima sententia exspectari possit, Demosthenes sed Ctesipho subiectum cogitari debet, cuius mentio demum fit § 213.

*βαλαντιοτόμον*] Tropice denotat eum, qui callide aliorum commoda vel summo scelere conatur adripere. Bremi. Denique *διατετμηκὼς τὴν πολιτείαν* is est, qui partium in civitate studia excitat, quae dum se invicem laniant, ipse opibus inhiat. Cf. 166.

*μεταβαλλόμενος*] Ex fletu et lacrimis in probra et maledicta transiens.

*ἔξωθεν*] Cf. ad 206.

*φάσκων κτλ.*] Conmune hoc erat oratorum artificium, cf. Din. I 62: *ἐνεχείρισας τὴν πόλιν ἅπασαν ταύτῃ, ἣν αὐτίκα φήσεις ὀλιγαρχικὴν εἶναι.*

*διηριθμημένους*] Hoc proprie est dinumerari, hinc discerni, separari. Bremi.

§ 208. *ὅτι*] Exempla huius dicendi consuetudinis suppeditabit Frohberg. Lys. vol. II 179.

*κάλλιστον ἐκ παιδείας*] Pulcherrimam vocem ex ingenua et liberali sapientia profectam, quae maximo est documento illos non modo liberaliter educatos fuisse, sed liberalitatem etiam vita et moribus expressisse. Bremi.

*ἑλκοποιεῖς*] Refricare volnera, obductas reipublicae cicatrices refricare, fricando renovare.

*τῶν αὐθημερὸν λόγων*] Pollux I 64: *τὸ μὲν ἐφ' ἑκάστῃ ἡμέρᾳ ἡμερήσιον, τὸ δὲ δι' ὅλης τῆς ἡμέρας πραττόμενον πανήμερον ἢ πανημέριον, τὸ δὲ διὰ μιᾶς ἡμέρας πραχθὲν αὐθημερόν, καὶ τὸ τὴν αὐτὴν ὁδὸν διὰ μιᾶς ἡμέρας ἐπανελθεῖν αὐθημερίσαι.* Steph. Byz. 219 (M): *Δαρσανία, πόλις Ἰνδική, ἐν ᾗ αὐθημερὸν ἱμάτιον ἱστουργοῦσι*

πόλεως.“ ὅταν δ' ἐπίορκος ὢν εἰς τὴν διὰ τῶν ὅρκων
πίστιν καταφυγγάνῃ, ἐκεῖνο ἀπομνημονεύσατε αὐτῷ, ὅτι
τῷ πολλάκις μὲν ἐπιορκοῦντι, ἀεὶ δὲ μεθ' ὅρκων ἀξιοῦντι
πιστεύεσθαι δυοῖν θάτερον ὑπάρξαι δεῖ, [ὧν οὐδέτερόν
ἐστι Δημοσθένει ὑπάρχον] ἢ τοὺς θεοὺς καινοὺς ἢ τοὺς
ἀκροατὰς μὴ τοὺς αὐτούς. περὶ δὲ τῶν δακρύων καὶ τοῦ 209
τόνου τῆς φωνῆς, ὅταν ὑμᾶς ἐπερωτᾷ „ποῖ καταφύγω,
ὦ ἄνδρες Ἀθηναῖοι; περιεγράψατέ με· οὐκ ἔστιν ὅποι

1 ἀπὸ τῶν ὅρκων elh. 2 ὅτι *om.* n. 3 ἀεὶ δὲ Dobr., ἀεὶ δὲ πρὸς τοὺς (*om.* lh) αὐτοὺς C. 4 δυοῖν θάτερον B, ἓν τοῖν δυοῖν A[h]. ὧν . . ὑπάρχον *del.* Cob. 7 καταφεύγω e, φύγω B. 8 περιεγρ. kh, περιεγράψετε el, περιγράψατε B. με] *add.* B: ἐκ τῆς πολιτείας, *om.* A[h].

γυναῖκες, fragmento Dionysii deinceps adlato: ἔνθα τε πέπλα γυναῖκες Ἀθηναίης ἰότητι αὐτῆμαρ κροκόωσιν ἐφ' ἱστοπόδων τανύουσαι, αὐτῆμαρ δ' ἐτάμοντο καὶ ἐξ ἱστῶν ἐρύσαντο. Herod. Cath. 491: καὶ τὸ αὐθημερὸν ὀξύνεται ἀπὸ τοῦ αὐθήμερος προπαροξυνομένου, cf. ib. 509, 20. Dindorf. in Steph. Thes. praetulit τῶν αὐθημέρων λόγων = extemporalium orationum. Mihi Aeschines hanc sententiam extulisse videtur: Magis tibi curae cordique sunt orationes quamvis intempestivae quam conmunis reip. salus. Etenim hoc esse dicit Demosthenis studium, ut suam quoque tempore pronuntiet orationem, ad salutem reipublicae quantum adferat aut deminuat, nihil eum curare. Quare adverbium adiectivo anteponendum esse duxi.

θεοὺς κοινούς] Schol. attulit Eurip. Med. 492:

ὅρκων δὲ φρούδη πίστις, οὐδ' ἔχω μαθεῖν
εἰ θεοὺς νομίζω τοὺς τότ' οὐκ ἄρχειν ἔτι,
ἢ καινὰ κεῖσθαι θέσμι' ἀνθρώποις τὰ νῦν·
ἐπεὶ σύνοισθά γ' εἰς ἔμ' οὐκ εὔορκος ὤν.

§ 209. δακρύων κτλ.] Din. I 109: μὴ οὖν ἄχθεσθε (παράγεσθε?) αὐτοῦ κλάοντος καὶ ὀδυρομένου· πολὺ γὰρ ἂν δικαιότερον ἐλεήσαιτε τὴν χώραν. I 102: ἀεὶ λέγοντες ὡς οὐκ ἔστιν ἔξω τῆς πατρίδος ὑμῖν ἐξελθεῖν, οὐκ ἔστιν ἄλλη καταφυγὴ χωρὶς τῆς ὑμετέρας εὐνοίας. I 92: οὐ προετέον ἐστὶν ὑμᾶς αὐτοὺς ταῖς τοῦ μιαροῦ καὶ γόητος τούτου δεήσεσιν οὐδὲ προσδεκτέον τοὺς οἴκτους καὶ τοὺς φενακισμοὺς τούτου. Clarissimum hoc in genere exemplum est illud C. Gracchi apud Cic. de Or. III 214: Quo me miser conferam? quo vertam? in Capitoliumne? at fratris sanguine madet. an domum? matremne ut miser miseram lamentantem videam et abiectam? Ubi in libris miser praetermissum deesse non potest.

περιεγράψατέ με] Prorsus falso Schol.: ἀντὶ τοῦ ἐκβαλεῖν. Unde factum est ut grammatici adderent: ἐκ τῆς πολιτείας, quasi vero περιγράφειν idem esset quod exterminare ex republica! Immo significat illud verbum aliquem civem certis et angustis finibus terminare, coarctare, continere. Atque Demosthenes circumscriptum se esse iactabat, quod pro republica multas exterorum inimicitias suscepisset, quibus extra urbem vitam degere prohiberetur. Eodemque fere modo Cic. ad Att. VII 9, 2: ire autem (Caesarem) ad arma aut hanc unam ob causam, quod ratio non habeatur, aut addita causa, si forte tribu-

ἀναπτήσομαι,“ ἀνθυποβάλλετε αὐτῷ „ὁ δὲ δῆμος ὁ Ἀθηναίων ποῖ καταφύγῃ, Δημόσθενες; πρὸς ποίαν συμμάχων παρασκευήν; πρὸς ποῖα χρήματα; τί προβαλλόμενος ὑπὲρ τοῦ δήμου τί πεπολίτευσαι; ἃ μὲν γὰρ ὑπὲρ σαυτοῦ βεβούλευσαι, πάντες ὁρῶμεν. ἐκλιπὼν μὲν τὸ ἄστυ οὐκ οἰκεῖς, ὡς δοκεῖς, ἐν Πειραιεῖ, ἀλλ' ἐξορμεῖς ἐκ τῆς πόλεως, ἐφόδια δὲ πεπόρισαι τῇ σαυτοῦ ἀνανδρίᾳ τὸ βα-
210 σιλικὸν χρυσίον καὶ τὰ δημόσια δωροδοκήματα.“ ὅλως δὲ τί τὰ δάκρυα; τίς ἡ κραυγή; τίς ὁ τόνος τῆς φωνῆς;

1 ἀναπτήσωμαι n, *fort.* ἀπαντήσομαι. ὁ δὲ δῆμος ἀθηναίων ek, ὁ δὲ ἀθηναίων δῆμος lh. 2 καταφύγοι a. ἢ πρὸς B. 4 τί *add.* $A^h$. σαυτοῦ e, σεαυτοῦ x. 5 πάντες $A^h$, ἅπαντες B. 6 ἐξορμήσας Priscian. XVIII 174. 7 τῆς σ. ἀνανδρίας elh. 9 *fort.* τί . . τί.

nus pl. senatum inpediens aut populum incitans notatus aut senatus consulto circumscriptus aut sublatus aut expulsus sit dicensve se expulsum ad illum confugerit. Inde patet diversa esse circumscriptum et expulsum esse.

*τί προβαλλόμενος*] Hoc verbum proprie significat tamquam munimentum pro aliqua re obicere, praetendere. Atque hanc laudem saepius sibi Demosthenes tribuere amat. Quare Aeschines per irrisum: Quod tandem munimentum praeclara tua rerum civilium administratio civitati paravit? Bremi. Cf. Dem. 18, 300: *ταῦτα προὐβαλόμην ἐγὼ πρὸ τῆς Ἀττικῆς, ὅσον ἦν ἀνθρωπίνῳ λογισμῷ δυνατόν, καὶ τούτοις ἐτείχισα τὴν χώραν.* Hanc autem similitudinem hoc loco vereor ut Aeschines animo sibi informaverit. Quare malim illam amplecti explicationem, quam proposuit Apollon. Lex. Hom. 136, 14 (B): *προτιβάλλεαι* (Hom. E 879)· *ὁ μὲν Ἀπίων προκωλύεις· οἱ γὰρ πυκτεύοντες τῇ προβολῇ κωλύουσι.* Xen. Cyr. II 3, 10: *καὶ ἐγὼ ἐκ παιδίου εὐθὺς προβάλλεσθαι ἠπιστάμην πρὸ τούτων, ὅτι οἰοίμην πληγήσεσθαι· καὶ εἰ μὲν ἄλλο μηδὲν ἔχοιμι, τὼ χεῖρε προέχων ἐνεπόδιζον, ὅτι ἐδυνάμην, τὸν παίοντα, καὶ τοῦτο ἐποίουν οὐ διδασκόμενος, ἀλλὰ καὶ ἐπ' αὐτῷ τούτῳ παιόμενος, εἰ προβαλοίμην.* Hinc Dem. 19, 27 Aeschinis appellat *τὴν προαίρεσιν τῆς πολιτείας προβεβλημένην καὶ ἄπιστον* = *εὐλαβῶς ἔχουσαν καὶ φυλαττομένην*, cf. Harp. 156. Cf. etiam H. Sauppe ad Dem. Phil. I 40.

*ἐν Πειραιεῖ*] Domum in Piraeeo Demosthenem possedisse atque illis temporibus ibi domicilium habuisse auctor est etiam Din. I 36: *τρυφῶν ἐν τοῖς τῆς πόλεως κακοῖς καὶ ἐπὶ φορείου κατακομιζόμενος τὴν εἰς Πειραιᾶ ὁδόν.* I 69: *αὐτὸς εἰσενεγκὼν πεντήκοντα δραχμὰς ἀπὸ τῆς οἰκίας τῆς ἐν Πειραιεῖ καὶ τῆς ἐν ἄστει.*

*ἐξορμεῖς*] Haec perfecta notio est verbi *ἐξορμίζω* = ex statione navem deducere, solvere, nam *ἐξορμεῖν* = discedere ex statione. Demosthenes quasi semper in eo est ut nave deducta ex urbe discedat (auf der Rhede liegen), cf. Lyc. Leocr. 17: *Λεωκράτης δὲ συσκευασάμενος ἃ εἶχε χρήματα μετὰ τῶν οἰκετῶν ἐπὶ τὸν λέμβον κατεκόμισε, τῆς νεὼς ἤδη περὶ τὴν ἀκτὴν ἐξορμούσης.*

§ 210. *ὅλως δὲ*] *Ὅλως* est Latinorum d e n i q u e: Denique cur opus est lacrimis? Quid est quod lacrimas effundat?

οὐχ ὁ μὲν τὴν γραφὴν φεύγων ἐστὶ Κτησιφῶν, σὺ δ' οὔτε περὶ τοῦ σώματος οὔτε περὶ τῆς ἐπιτιμίας ἀγωνίζει; ἀλλὰ περὶ τίνος ἐστὶν αὐτῷ ἡ σπουδή; περὶ χρυσῶν στεφάνων καὶ κηρυγμάτων ἐν τῷ θεάτρῳ παρὰ τοὺς νόμους·
ὃν ἐχρῆν, εἰ καὶ μανεὶς ὁ δῆμος ἢ τῶν καθεστηκότων ἐπι- 211
λελησμένος ἐπὶ τοιαύτης ἀκαιρίας ἐβούλετο στεφανοῦν αὐτόν, παρελθόντα εἰς τὴν ἐκκλησίαν εἰπεῖν· „ἄνδρες Ἀθηναῖοι, τὸν μὲν στέφανον δέχομαι, τὸν δὲ καιρὸν ἀποδοκιμάζω, ἐν ᾧ τὸ κήρυγμα γίγνεται· οὐ γὰρ δεῖ ἐφ' οἷς ἡ πόλις ἐκείρατο, ἐπὶ τούτοις ἐμὲ στεφανοῦσθαι."

1 Κτησιφῶν] *add.* C: ὁ δ' ἀγὼν οὐκ ἀτίμητος, *del.* W. σὺ δ'] *add.* B: οὔτε περὶ τῆς οὐσίας, *idemque post* ἐπιτιμίας *ponit* $A^h$, *del.* W. 2 τοῦ *om.* e. ἀγωνίζῃ C. 5 Rhet. Gr. III 22. 63. ἄνδρες, cf. I 78. 121. 164. 10 ἐκείρατο W, ἐκείρετο καὶ ἐπένθησε $A^h$, ἐπένθησε καὶ ἐκείρατο B. ἐμ' ἐστεφανῶσθαι l.

(οὐκ ἀτίμητος)] Harp. 38: ὁ μὲν τιμητὸς ἐφ' ᾧ τίμημα ὡρισμένον ἐκ τῶν νόμων οὐ κεῖται, ἀλλὰ τοὺς δικαστὰς ἔδει τιμᾶσθαι ὅτι χρὴ παθεῖν ἢ ἀποτῖσαι· ὁ δ' ἀτίμητος τοὐναντίον ᾧ πρόσεστιν ἐκ τῶν νόμων ὡρισμένον τίμημα, ὡς μηδὲν δεῖν τοὺς δικαστὰς διατιμῆσαι. Cf. § 197. Erat certe causa Ctesiphontea ἀγὼν τιμητός, cf. Boeckh Staatsh. I 489. 503. Hac in re nihil dubium est. At verba ista quae excerpsi: ὁ δ' ἀγὼν οὐκ ἀτίμητος in ordinem accepta nihil nisi contrarium significare possunt, causae illius aestimationem nullam iudicibus permissam fuisse. Nam etiamsi concedam, interrogativum οὐχ ante ὁ μὲν positum simul ad ὁ δὲ animo suppleri posse, quis tandem unquam dixit: οὐχ ὁ ἀγὼν οὐκ ἀτίμητος; Quare haec verba falsa grammaticorum enarratione orta esse existimo, cum praesertim illa sententia ad ipsam rem nihil valeat.

οὔτε περὶ τῆς ἐπιτιμίας] Hoc in membro totius sententiae simul illud continetur quod grammatici addiderunt: οὔτε περὶ τῆς οὐσίας. Cf. etiam Lys. I 50: ἐγὼ γὰρ νῦν καὶ περὶ τοῦ σώματος καὶ περὶ τῶν χρημάτων καὶ περὶ τῶν ἄλλων ἁπάντων κινδυνεύω. Isae. 4, 30: ἴσως ἂν οὐ περὶ τῶν Νικοστράτου χρημάτων ἠμφεσβήτει, ἀλλ' ὑπὲρ τοῦ σώματος ἠγωνίζετο.

§ 211. ὃν ἐχρῆν κτλ.] Tiber. III 63: ἠθοποιΐα δέ ἐστιν ὅταν φεύγοντες τὸ προσκρουστικὸν τῶν ἐπιτιμήσεων ὡς ὑφ' ἑτέρων προσώπων γινομένας εἰσάγωμεν. Atque Aeschinis exemplo deinceps adlato idem rhetor sic pergit: τοῦτο γὰρ τὸ νόημα ἐνὸν ἀπὸ τοῦ ἰδίου προσώπου εἰπεῖν περιέθηκε τῷ ἀντιδίκῳ. Vere autem iudicat Cornific. IV 66: haec exornatio proficit plurimum in amplificationis partibus et commiserationis. Cf. Quintil. IX 2, 29. Cic. de or. II 328.

ἐκείρατο] Qui fieri potuerit ut grammatici explicandi gratia adicerent καὶ ἐπένθησε, apparebit ex Schol.: οἱ Ἕλληνες ἐν ταῖς εὐπραγίαις τὴν κόμην ἔτρεφον, ἐν δὲ ταῖς δυστυχίαις καὶ τῷ πένθει ἐκείροντο. Ὅμηρος αὐτοὺς πανταχοῦ καρηκομόωντας καλεῖ. ἀνάπαλιν δὲ Ἐπαμεινώνδας (Paus. IX 15, 6)·

ἡμετέραις βουλαῖς Σπάρτα μὲν ἐκείρατο δόξαν.

Λυσίας ἐν ἐπιταφίῳ (60) τοῖς Κορινθίων βοηθοῖς· „ὥστε ἄξιον ἦν ἐπὶ τῷδε τῷ τάφῳ τό τε κείρασθαι τῇ Ἑλλάδι καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμένους."

ἀλλ' οἶμαι, ταῦτα μὲν ἂν εἴποι ἀνὴρ ὄντως βεβιωκὼς μετ' ἀρετῆς· ἃ δὲ σὺ λέξεις, εἴποι ἂν κάθαρμα ζηλοτυποῦν
212 ἀρετήν. οὐ γὰρ δὴ μὰ τὸν Ἡρακλέα τοῦτό γε ὑμῶν οὐδεὶς φοβήσεται, μὴ Δημοσθένης, ἀνὴρ μεγαλόψυχος καὶ τὰ πολεμικὰ διαφέρων, ἀποτυχὼν τῶν ἀριστείων ἐπανελθὼν οἴκαδε ἑαυτὸν διαχρήσηται· ὃς τοσοῦτον καταγελᾷ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, ὥστε τὴν μιαρὰν κεφαλὴν ταύτην καὶ ὑπεύθυνον, ἣν οὗτος παρὰ πάντας τοὺς νόμους γέγραφε στεφανῶσαι, μυριάκις κατατέτμηκε καὶ τούτων μισθοὺς εἴληφε τραύματος ἐκ προνοίας γραφὰς γραφόμε-

1 ἂν *om.* an. ἀνὴρ οὕτω elh. ἐπὶ μετ' l. 3 γε *om.* A[h]. 4 φοβήσεται A[h]a, φοβηθήσεται x. ὁ δημ. B. 5 ἐπαν. οἴκαδε A[h], οἴκαδε ἐπανελθ. B, cf. § 246. 6 διαχρήσεται elh. 8 πάντας *om.* B. 10 εἴληχε a.

ἀλλ' οἶμαι] Nam in sententia praemissa ὃν ἐχρῆν κτλ. simul illud continetur: Demosthenem quidem non ita loqui. Huic sententiae iam hoc subicitur: sed hominem credo honestum ita locuturum esse.

κάθαρμα ζηλοτυποῦν ἀρετήν] *Κάθαρμα* tamquam caenum vel purgamentum est abiciendum: inde ut latine dicitur vel caenum vel scelus pro homine inpuro ac scelerato, ita graece transfertur ad hominem designandum, qui omni scelere et nequitia obrutus et conmaculatus e civitate eiciendus videatur. Eiusmodi homo cum virtute, etiamsi speciem eius sequatur, nihil tamen conmune habet, cf. Dem. 18, 128: σοὶ δ' ἀρετῆς, ὦ κάθαρμα, ἢ τοῖς σοῖς τίς μετουσία; ἢ καλῶν ἢ μὴ τοιούτων τίς διάγνωσις; πόθεν ἢ πῶς ἀξιωθέντι; Quare ζηλοτυπεῖν, quo verbo veteres Attici raro utebantur, propriam ac suam vim hoc quoque loco habet: invidia odioque aliquid prosequi propter praeoccupatum alicuius rei amorem et studium: Demosthenes ut caenum ac scelus a virtutis nomine atque splendore propter nequitiae amorem animo prorsus abhorret. Cf. Plato Symp. 213d: ζηλοτυπῶν με καὶ φθονῶν. Itemque interpretatur Harp. 91: ζηλοτυποῦν Αἰσχ. ἐν τῷ κ. Κτ. ἀντὶ τοῦ μισοῦν· ζηλοῦν γὰρ τὸ μακαρίζειν, ζηλοτυπεῖν δὲ τὸ εἰς ἀπέχθειαν ἐληλυθέναι. Moeris 197: ζηλῶ Ἀττικοί, ζηλοτυπῶ Ἕλληνες. Hinc ambigua mens veterum grammaticorum, qualis in Schol. deprehenditur: τὴν ἀρετὴν δόξης ἕνεκα ζηλοῦν, εἴδωλον ἀρετῆς διώκον, ἤγουν τὴν ἀρετὴν μισοῦν ἢ τῇ ἀρετῇ φθονοῦν.

§ 212. φοβήσεται] Itemque Plat. de rep. V 470a: μᾶλλον δὲ καὶ φοβησόμεθα μή τι μίασμα ᾖ κτλ. codices deteriores habent formam depravatam φοβηθησόμεθα. Cf. Franke, Lectt. Aesch. 460.

ἐπανελθὼν οἴκαδε] Eundem horum verborum ordinem deprehendimus etiam I 145. 186. III 246. Contraque Dinarch. I 65 ubi οἴκαδε ἀπελθών legitur, emendandum est οἴκαδ' ἐπανελθών, cf. Mnemos. VIII 97.

διαχρήσηται] Schol.: ἐπεὶ ὁ Μειδίας πολεμιστὴς ἦν, ὃς ἀποτυχὼν τῶν ἀριστείων ἑαυτὸν περιεῖλε ξίφει· πρὸς τοῦτο οὖν παίζει.

κατατέτμηκε] „Iam supra § 51 capitis ἐπιτομὴν Demostheni obiecit, ut alium τραύματος ἐκ προνοίας accusaret. Nemo in nostro loco non agnoscit hyberbolen rhetoricam. Atque § 52 etiam de Midia eiusque causa sermo erat.“ Bremi. Cf. Dinarch. I 6.

*νος, καὶ κατακεκονδύλισται, ὥστε αὐτὸν οἶμαι τὰ τῶν κονδύλων ἴχνη τῶν Μειδίου ἔχειν ἔτι φανερά· ὁ γὰρ ἄνθρωπος οὐ κεφαλὴν ἀλλὰ κεφάλαιον, οὐδὲ πρόσωπον ἀλλὰ πρόσοδον κέκτηται.*

*Περὶ δὲ Κτησιφῶντος τοῦ γράψαντος τὴν γνώμην* 213
*βραχέα βούλομαι εἰπεῖν, τὰ δὲ πολλὰ ὑπερβήσομαι, ἵνα καὶ πεῖραν λάβω, εἰ δύνασθε τοὺς σφόδρα πονηρούς, κἂν μή τις προείπῃ, διαγιγνώσκειν· ὃ δ' ἐστὶ κοινὸν καὶ δίκαιον κατ' ἀμφοτέρων αὐτῶν ἀπαγγεῖλαι πρὸς ὑμᾶς, τοῦτ' ἐρῶ. περιέρχονται γὰρ κατὰ τὴν ἀγορὰν ἀληθεῖς κατ' ἀλλήλων ἔχοντες δόξας καὶ λόγους οὐ ψευδεῖς λέγοντες. ὁ μὲν* 214
*γὰρ Κτησιφῶν οὐ τὸ καθ' αὐτόν φησι φοβεῖσθαι, ἐλπίζειν γὰρ δόξειν ἰδιώτης εἶναι, ἀλλὰ τὴν τοῦ Δημοσθένους ἐν τῇ πολιτείᾳ δωροδοκίαν φησὶ φοβεῖσθαι καὶ τὴν ἐμπληξίαν καὶ δειλίαν· ὁ δὲ Δημοσθένης εἰς αὐτὸν μὲν*

3 *οὐ κεφαλὴν ἀλλὰ πρόσοδον* C, *em.* ex Toupii et Westermanni coniecturis W. 7 *καὶ πεῖραν* Tur., *ὑμῶν καὶ πεῖραν* A[h], *καὶ π. ὑμῶν* a, *καὶ π. λάβω ὑμῶν* gmn. 10 *γὰρ* *om.* gmn. *κατὰ* *add.* eh. 12 *κατ' αὐτὸν* e, *καθ' ἑαυτὸν* x. *ἐλπίζειν . . φοβεῖσθαι* (14) *om.* a. 14 *ἐκπληξίαν* n. 15 *ἑαυτὸν* a.

*κεφαλὴν — πρόσοδον*] In hoc loco corrupto cum Toupius *οὐ κεφαλὴν ἀλλὰ κεφάλαιον*, Orellius *οὐ κεφαλὴν ἀλλὰ πρόσοδον κέκτηται* proposuisset, utramque coniecturam sic coniungendam putavi, ut scriberem *οὐ κεφαλὴν ἀλλὰ κεφάλαιον οὐδὲ πρόσωπον ἀλλὰ πρόσοδον κέκτηται*. Primum enim videram multa vitia sic esse in Aeschinis orationibus orta ut librarii a simili verbo ad simile aberrarent. Deinde orator attigerat modo *τὴν τῆς κεφαλῆς ἐπιτομήν* et *τὰ τῶν κονδύλων ἴχνη*. Quare veri simile est dicacitatem Aeschinis et ad caput Demosthenis et ad voltum pertinere. Sed in hoc genere alii alia scribere amabunt. Mecum Westermannum de litibus Demosthenis p. 30 consentire postea videram.

§ 213. *πεῖραν λάβω*] Alias in hac locutione fere semper genetivus obiecti invenitur additus, sed hoc loco rationi est parendum potius quam exemplis: nam cum *ὑμῶν* aliam in aliis libris sedem teneat, interpolationis suspitio praevalet.

*κατὰ τὴν ἀγοράν*] Praepositione hoc loco carere non potest oratio: nam *τὴν ἀγορὰν* qui *περιέρχεται*, fori circuitum obambulat, non in ipso foro versatur, cf. Din. I 32: *περιιὼν οὗτος κατὰ τὴν ἀγορὰν ἐλογοποίει*. Cf. Kleyne in Mnemos. VIII 93. Emendandum etiam est, ut vidit Franke, Andoc. I 99: *καὶ σὺ ζῇς καὶ περιέρχῃ (κατὰ) τὴν πόλιν ταύτην*.

§ 214. *ἐλπίζειν κτλ.*] Ironia est acerbior cum Ctesiphon ipse dicatur professus esse hanc spem, quam alio sensu veram esse Aeschines concedet. Ille enim dicebat se sperare futurum, ut habeatur *ἰδιώτης*, i. e. homo a cura et scientia rerum publicarum alienus: hinc se, si quid deliquerit, facile veniam inpetraturum. Aeschines autem emphatice nomen *ἰδιώτης* pronuntiat et intellegit ineptum, stupidum. Bremi. Ceterum cf. Schaefer III 205, 1.

*ἐμπληξίαν*] *Ἐμπλήττεσθαι* ut *ἐμβροντᾶσθαι* dicitur de eis qui

*ἀποβλέπων θαρρεῖν φησιν, τὴν δὲ τοῦ Κτησιφῶντος πονηρίαν καὶ πορνοβοσκίαν ἰσχυρῶς δεδιέναι. τοὺς δὴ κατεγνωκότας ἀλλήλων ἀδικεῖν μηδαμῶς ὑμεῖς οἱ κοινοὶ κριταὶ τῶν ἐγκλημάτων ἀπολύσητε.*

215 *Περὶ δὲ τῶν εἰς ἐμαυτὸν λοιδοριῶν βραχέα βούλομαι προειπεῖν. πυνθάνομαι γὰρ λέξειν Δημοσθένην ὡς ἡ πόλις ὑπ' αὐτοῦ μὲν ὠφέληται πολλά, ὑπ' ἐμοῦ δὲ καταβέβλαπται, καὶ τὸν Φίλιππον καὶ τὸν Ἀλέξανδρον καὶ τὰς ἀπὸ τούτων αἰτίας ἀνοίσειν ἐπ' ἐμέ. οὕτω γάρ ἐστιν, ὡς ἔοικε, δεινὸς δημιουργὸς λόγων, ὥστε οὐκ ἀπόχρη αὐτῷ, εἴ τι πεπολίτευμαι παρ' ὑμῖν ἐγὼ ἢ εἴ τινας δη-*
216 *μηγορίας εἴρηκα, τούτων κατηγορεῖν, ἀλλὰ καὶ τὴν ἡσυχίαν μου τοῦ βίου διαβάλλει καὶ τῆς σιωπῆς μου κατη-*

2 *δὲ* n, *δὲ δὴ* agm. 6 *προσειπεῖν* Agmn. *δημοσθένη* e. *ὅτι* kl. 7 *μὲν om.* **A**[h]. 9 *ἀνήσειν* klh. *ὑπ'* l. 11 *ὑμῶν* elh. *κἀγὼ* mnh[2].

fulmine tacti sunt. Hinc transfertur ad eos qui non sanae sunt mentis, *ἐμπληξία* = *μανία*, *φρενοβλάβεια*. Maximeque inconstantiam hoc vocabulo notatam esse apparet ex Eurip. Troad. 1194: *τοῖς τρόποις γὰρ αἱ τύχαι, ἔμπληκτος ὡς ἄνθρωπος, ἄλλοτ' ἄλλοσε πηδῶσι.* Bremi. Ctesiphontis morum probitas quae et qualis fuerit nescimus. Cf. § 246. 242.

§ 215—227: Subiectione Aeschines ita utitur, ut et convicia Demosthenis antea repellat et invidiam adversario contrahat.

§ 215. *τὰς ἀπὸ τούτων αἰτίας*] Crimina quae a Philippo et Alexandro repetuntur, quae in conmemoratione illorum versantur. Cf. Dem. 18, 283.

§ 216. *τὴν ἡσυχίαν*] Dem. 18, 198: *ὅτῳ συνενηνόχασιν οἱ αὐτοὶ καιροὶ καὶ τοῖς τῆς πόλεως ἐχθροῖς, οὐκ ἔνι τοῦτον εὔνουν εἶναι τῇ πατρίδι. δηλοῖς δὲ καὶ ἐξ ὧν ζῇς καὶ ποιεῖς καὶ πολιτεύῃ καὶ πάλιν οὐ πολιτεύῃ. πράττεταί τι τῶν ὑμῖν δοκούντων συμφέρειν; ἄφωνος Αἰσχίνης. ἀντέκρουσέ τι καὶ γέγονεν οἷον οὐκ ἔδει; πάρεστιν Αἰσχίνης ὥσπερ τὰ ῥήγματα καὶ σπάσματα, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ, τότε κινεῖται.* Cf. praeterea Dem. 307. 308. Istae criminationes profecto malitiosae sunt. Aeschines enim tamdiu in publicis negotiis versabatur quamdiu respublica libera videbatur. Cum autem omnis paene potestas et arbitrium ad unum Demosthenem amicosque rediisset, Aeschines certe non poterat a cura reipublicae non recedere, cum et capitali odio et voluntate ab illo dissideret. Surgebat nimirum quotiens respublica in summas calamitates adducta et Demosthenis operam aspernari et aliorum consilia amplecti videretur. Haec otii negotiique vicissitudines in liberis civitatibus saepenumero primoribus viris subeundae sunt. Quare malitiosum est illud Demosthenis (308): *ἔστι γὰρ ἔστιν ἡσυχία δικαία καὶ συμφέρουσα τῇ πόλει, ἣν οἱ πολλοὶ τῶν πολιτῶν ὑμεῖς ἁπλῶς ἄγετε. ἀλλ' οὐ ταύτην οὗτος ἄγει τὴν ἡσυχίαν, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ἀποστὰς ὅταν αὐτῷ δόξῃ τῆς πολιτείας, πολλάκις δὲ δοκεῖ, φυλάττει ὁπηνίκ' ἔστε μεστοὶ τοῦ συνεχῶς λέγοντος ἢ παρὰ τῆς τύχης τι συμβέβηκεν ἐναν-*

*γορεῖ, ἵνα μηδεὶς αὐτῷ τόπος ἀσυκοφάντητος παραλείπηται, καὶ τὰς ἐν τοῖς γυμνασίοις μετὰ τῶν νεωτέρων μου διατριβὰς καταμέμφεται, καὶ κατὰ τῆσδε τῆς κρίσεως εὐθὺς ἀρχόμενος τοῦ λόγου φέρει τινὰ αἰτίαν, λέγων ὡς ἐγὼ τὴν γραφὴν οὐχ ὑπὲρ τῆς πόλεως ἐγραψάμην ἀλλ' ἐνδεικνύμενος Ἀλεξάνδρῳ διὰ τὴν πρὸς αὐτὸν ἔχθραν. καὶ νὴ Δί', ὡς ἐγὼ πυνθάνομαι, μέλλει με ἀνερωτᾶν, διὰ* 217 *τί τὸ μὲν κεφάλαιον αὐτοῦ τῆς πολιτείας ψέγω, τὰ δὲ καθ' ἕκαστον οὐκ ἐκώλυον οὐδ' ἐγραφόμην, ἀλλὰ διαλιπὼν καὶ πρὸς τὴν πολιτείαν οὐ πυκνὰ προσιὼν ἀπήνεγκα τὴν γραφήν. ἐγὼ δὲ οὔτε τὰς Δημοσθένους διατριβὰς ἐζήλωκα, οὔτ' ἐπὶ ταῖς ἐμαυτοῦ αἰσχύνομαι, οὔτε τοὺς*

1 *παραλίπηται* Bh. 2 *νέων* lh. 3 *διατρ.* *om.* n. *καὶ* *om.* lh. 6 *τὴν* *om.* n. 7 *μέλλειν* gmn. *ἐρωτᾶν* n. 8 *τὰ μὲν κεφάλαια* gm. *αὐτοῦ τῆς πολ.* $A^h$, *τῆς πολ. αὐτοῦ* B. 12 *ἐζήλωσα* lh.

*τίωμα ἢ ἄλλο τι δύσκολον γέγονε· εἶτ' ἐπὶ τούτῳ τῷ καιρῷ ῥήτωρ ἐξαίφνης ἐκ τῆς ἡσυχίας ὥσπερ πνεῦμ' ἐφάνη κτλ.* Quasi vero aut Demosthenes sine ulla necessitate et calamitate a republica recessisset aut Aeschines illius consilia et voluntates adiuvare vel debuisset vel potuisset! Cf. Dem. 263. 273.

*μετὰ τῶν νεωτέρων*] Nescio an praeviderat Aeschines contumelias illas quas Dem. fudit § 258 sq. Cf. etiam Aesch. I 135.

*ἀρχόμενος τοῦ λόγου*] In his *τοῦ λόγου* patet non de oratione Demosthenis quae exstat accipiendum esse: insaniret Aeschines, si quid hinc furatus ipse locum indicaret unde desumpsisset. Neque hoc aperte Demosthenes in sua oratione dixit, sed obscure quodammodo, ut § 280. Westermann de Aesch. or. 20. Cf. etiam Dem. 197. Mihi quidem illa verba *εὐθὺς ἀρχόμενος τοῦ λόγου* suspecta sunt.

*διὰ τὴν — ἔχθραν*] i. e. propter notissimum Alexandri erga Demosthenem odium.

§ 217. *διὰ τί τὸ μὲν κεφ. κτλ.*] Cf. Dem. 13. 22. 117. 124. 188. 191 sq. 196. 222. 239. 242. 273. Hoc artificio multum oratores utebantur. Videamus nunc quae Demosthenes ipse aliis locis contra dicat: XIX 25: *ἵνα μηδεὶς ὑμῶν, ἐπειδάν τι λέγοντος ἀκούῃ μου τῶν πεπραγμένων καὶ δοκῇ δεινὸν αὐτῷ καὶ ὑπερβάλλον εἶναι, „εἶτα τότ' οὐκ ἔλεγες παραχρῆμα ταῦτα οὐδ' ἐδίδασκες ἡμᾶς;“ θαυμάζῃ, ἀλλὰ . . εἰδῆθ' ὅτι πρὸς ἅπασι τοῖς ἄλλοις καὶ τοῦτο ἠδίκησθε ὑπ' αὐτοῦ, ὅτι τἀληθῆ παραχρῆμα καὶ ἡνίκ' ἔδει πυνθάνεσθαι διεκωλύθητε ἐλπίσι καὶ φενακισμοῖς καὶ ὑποσχέσεσιν ἐξαπατώμενοι.* XXI 141: *καὶ γὰρ ἀσχολία καὶ ἀπραγμοσύνη καὶ τὸ μὴ δύνασθαι λέγειν καὶ ἀπορία καὶ μυρί' ἐστὶν αἴτια· προσήκειν μέντοι τούτῳ μὴ ταῦτα λέγειν ἡγοῦμαι νυνί, ἀλλ' ὡς οὐ πεποίηκε τούτων ὧν αὐτοῦ κατηγόρηκα διδάσκειν.* Praeterea cf. XXIII 188. XXIV 173.

*διατριβὰς ἐζήλωκα*] Videlicet non tantae erant in Aeschine ingenii facultates, ut cum Demosthene aut contendere aut decertare posset. Quare cum summa ille uteretur auctoritate, nihil relinquebatur quam ut privatam et otiosam vitam in occulto degeret.

εἰρημένους ἐν ὑμῖν λόγους ἐμαυτῷ ἀρρήτους εἶναι ἐβου-
λόμην, οὔτε τὰ αὐτὰ τούτῳ δημηγορήσας ἐδεξάμην ἂν
218 ζῆν. τὴν δ' ἐμὴν σιωπήν, ὦ Δημόσθενες, ἡ τοῦ βίου
μετριότης παρεσκεύασεν· ἀρκεῖ γάρ μοι μικρὰ καὶ μειζό-
νων αἰσχρῶς οὐκ ἐπιθυμῶ, ὥστε καὶ σιωπῶ καὶ λέγω
βουλευσάμενος, οὐκ ἀναγκαζόμενος ὑπὸ τῆς ἐν τῇ φύ-
σει δαπάνης. σὺ δ' οἶμαι λαβὼν μὲν σεσίγηκας, ἀνα-
λώσας δὲ κέκραγας. λέγεις δὲ οὐχ ὁπόταν σοι δοκῇ οὐδ'
ἂν βούλῃ, ἀλλ' ὁπόταν οἱ μισθοδόται σοι προστάττωσιν·
οὐκ αἰσχύνῃ δὲ ἀλαζονευόμενος, ἃ παραχρῆμα ἐξελέγχῃ
219 ψευδόμενος. ἀπηνέχθη γὰρ ἡ κατὰ τοῦδε τοῦ ψηφίσμα-

1 ἐβουλόμην W, βουλοίμην C. 5 σιωπῶ klh, σιγῶ x. 6 οὐκ A[h], ἀλλ' οὐκ B. 7 σιγήσας l. 8 ὅταν .. ὅταν A[h]. 9 ἂν βούλῃ W, ἃ βούλει C. οἱ σοὶ eh. 10 ἐξελεγχθήσῃ A[h].

*ἐβουλόμην*] Nec ego unquam quas habuissem orationes non habuisse optabam. Quod in libris est *βουλοίμην* tolerari non potest. Nam optatio quidem ipsa necessario caret particula *ἄν*, cf. G. Hermann Opusc. IV 154; at optatio ista hoc loco non modo verbi sed propria optandi vel cupiendi voce notata est. Nec vero cum optandi verbo consociari potest optandi (per modum) notitia = velim velle. Hoc quidem esset *βουλοίμην* sine particula *ἄν*. Quare fieri non potest quin dicatur: *οὐκ ἂν βουλοίμην* = nec enim, si mihi optio detur, in eo esse velim ut optem, qua in sententiae conformatione cum optandi notitia congregata est condicionis cogitatio. Haec autem sententia parum convenit cum Aeschinis consilio, qui dicturus est: neque orationum se unquam poenituisse et si poeniteret mortem vitae se praepositurum fuisse. Quae disputaverunt G. Herm. Opusc. IV 156 sq., Franke Act. Soc. Gr. II 36, Maetzner ad Lycurg. 169, maximam partem in errore sunt falsae opinionis ex recordatione locorum corruptorum natae.

§ 218. *μετριότης*] Haec virtus ab Atheniensibus haudquaquam contemnebatur quia in ea conmunis omnium libertas consistere videbatur. Dem. ipse 18, 219 haec dicit: *καίτοι πολλοὶ παρ' ὑμῖν γεγόνασι ῥήτορες ἔνδοξοι καὶ μεγάλοι πρὸ ἐμοῦ, Καλλίστρατος ἐκεῖνος, Ἀριστοφῶν, Κέφαλος, Θρασύβουλος, ἕτεροι μυρίοι· ἀλλ' ὅμως οὐδεὶς πώποτε τούτων διὰ παντὸς ἔδωκεν ἑαυτὸν εἰς οὐδὲν τῇ πόλει κτλ.*

*αἰσχρῶς*] Vel quaestu vel gloria eo adductus ut alia ac sentiam apud populum pronuntiem. Hoc facere debuit, si tum quoque cum Demosthenes praevaleret, aliquem in republica locum obtinere vellet. Sua enim consilia cum persequi non liceret, aut sententias suas de republica mutare aut potentia adversariorum victus desistere et in otio agitare debuit.

*βουλευσάμενος*] Non tam re accurate pensitata aut prodibat aut se continebat quam temporibus diligenter consideratis aut tacebat aut loquebatur, prout ubique reipublicae prodesse se posse putaret.

*σεσίγηκας — κέκραγας*] Dem. 82: *ὦ βλασφημῶν περὶ ἐμοῦ καὶ λέγων ὡς σιωπῶ μὲν λαβών, βοῶ δ' ἀναλώσας.*

§ 219. *ἀπηνέχθη*] Cf. A. Schaefer 205, 2. Boehneke Forsch. 309. Causa autem in iudicium venit ἕκτῳ ἐνιαυτῷ μετὰ τὴν Φιλίπ-

*τος γραφή, ἣν οὐχ ὑπὲρ τῆς πόλεως ἀλλ' ὑπὲρ τῆς πρὸς Ἀλέξανδρον ἐνδείξεώς με φῂς ἀπενεγκεῖν, ἔτι Φιλίππου ζῶντος, πρὶν Ἀλέξανδρον εἰς τὴν ἀρχὴν καταστῆναι, οὔπω σοῦ τὸ περὶ Πανσανίαν ἐνύπνιον ἑωρακότος οὐδὲ πρὸς τὴν Ἀθηνᾶν καὶ τὴν Ἥραν νύκτωρ διειλεγμένου. πῶς ἂν οὖν ἐγὼ προενεδεικνύμην Ἀλεξάνδρῳ; εἴ γε μὴ ταὐτὸν ἐνύπνιον ἐγὼ καὶ Δημοσθένης εἴδομεν. ἐπιτιμᾷς* 220 *δέ μοι εἰ μὴ συνεχῶς ἀλλὰ διαλείπων πρὸς τὸν δῆμον προσέρχομαι, καὶ τὴν ἀξίωσιν ταύτην οἴει λανθάνειν μεταφέρων οὐκ ἐκ δημοκρατίας ἀλλ' ἐξ ἑτέρας πολιτείας. ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις οὐχ ὁ βουλόμενος ἀλλ' ὁ δυναστεύων δημηγορεῖ, ἐν δὲ ταῖς δημοκρατίαις ὁ βουλόμενος καὶ ὅταν αὐτῷ δοκῇ. καὶ τὸ μὲν διὰ χρόνου λέγειν σημεῖόν ἐστιν ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος ἀνδρὸς πολιτευομένου, τὸ δὲ μηδεμίαν παραλείπειν ἡμέ-*

1 *πρὸς* A[h], *εἰς* B. 3 *ἀρχὴν*] *βουλὴν* a. 6 *οὖν ἂν* lh. 7 *ταὐτὸν* Cob., *ταὐτὸ* C. 8 *ἀλλὰ καὶ* n. *πρὸς*] *εἰς* h. 9 *εἰσέρχ.* hl. *λανθάνειν ἡμᾶς* A[h]g. 11 *εἰ μὲν* e. 12 *δημηγορεῖ* Bekk., *κατηγορεῖ* C. 13 *δόξῃ* gmn. *καὶ om.* n. 15 *παραλιπεῖν* B.

*που τελευτήν*, Dionys. ad Amm. I 12.

*καὶ τὴν Ἥραν*] Supra § 77, ubi fusius res narratur, scriptum erat *παρὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς*. Bremi. Nimirum cum supra ipsa Demosthenis verba repetiisset, nunc eadem cum acerbitate cavillatur et interpretatur: videlicet non cum dis sed cum deabus consuetudinem habet!

*εἴ γε μὴ*] Ut latine dicitur: nisi, nisi vero, nisi forte, quibus particulis altera quaedam sententia inducitur, qua superior sententia tamquam absurda aut naturae repugnans convincatur. Cf. Seyffert, Schol. lat. I 124.

§ 220. *ἐξ ἑτέρας πολιτείας*] Ex diversa et contraria reipublicae forma, quae habetur Aeschini paucorum dominatio vel *ὀλιγαρχία*. Cf. etiam Lys. I 2: *περὶ τούτου γὰρ μόνου τοῦ ἀδικήματος καὶ ἐν δημοκρατίᾳ καὶ ἐν ὀλιγαρχίᾳ ἡ αὐτὴ τιμωρία*.

*δημηγορεῖ*] Quod in libris scriptum exstat *κατηγορεῖ*, aperte falsum est. Orellius quidem sic sentiebat: in democratia, ubi nulla sit *ἰσηγορία*, rarissimum esse *τῆς δημηγορίας* usum. Quare conmodum esse *κατηγορεῖ*, quo in verbo brachylogiam se agnoscere. In oligarchia potentissimum quemque iudicia exercere, in democratia quicunque velit adversario diem dicere. At haec omnia nihil ad rem. Nam nihil Aeschines antea de iudiciis dixerat, sed de omni publica actione. Quare requiritur eiusmodi verbum quo haec actio proprie designetur. Hoc autem est *δημηγορεῖν*, non *κατηγορεῖν*. Contionandi usus utrum frequentior an rarior sit in paucorum dominatione, nihil ad disceptationem valet. Nam habentur quidem etiam a principibus contiones, ubi quibus dicendi facultas dari soleat, cur ea circumscripta et rara sit, Aeschines ipse dicit. Conparat enim duas reip. formas, in quibus eadem res diverso modo appareat.

221 ραν ἐργαζομένου καὶ μισθαρνοῦντος. ὑπὲρ δὲ τοῦ μηδέπω κεκρίσθαι ὑπ' ἐμοῦ μηδὲ τῶν ἀδικημάτων τιμωρίαν ὑποσχεῖν, ὅταν καταφεύγῃς ἐπὶ τοὺς τοιούτους λόγους, ἢ τοὺς ἀκούοντας ἐπιλήσμονας ὑπολαμβάνεις ἢ σαυτὸν παραλογίζῃ. τὰ μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας ἠσεβημένα σοι καὶ τὰ περὶ τὴν Εὔβοιαν δωροδοκηθέντα, χρόνων ἐγγεγενημένων ἐν οἷς ὑπ' ἐμοῦ φανερῶς ἐξηλέγχου, ἴσως
222 ἐλπίζεις τὸν δῆμον ἀμνημονεῖν· τὰ δὲ περὶ τὰς τριήρεις καὶ τοὺς τριηράρχους ἁρπάγματα τίς ἂν ἀποκρύψαι χρόνος δύναιτ', ὅτε νομοθετήσας περὶ τῶν τριακοσίων καὶ σαυτὸν πείσας Ἀθηναίους ἐπιστάτην τάξαι τοῦ ναυτικοῦ,

1 μήπω $A^h$. 2 μήτε $A^h$. 3 τοὺς *om.* klh. 9 τριηράρ[ους]χας a. χρόνος ἀποκρ. $A^h$. 10 δύναιτ' e, δύναιτ' ἂν x. 10 τριακοσίων νεῶν A. καὶ . . πέντε (p. 188, 1) *om.* lh.

§ 221. τοῦ μηδέπω κεκρίσθαι] Cf. Dem. 15, 279: μηδενὸς δ' ἀδικήματος δημοσίου, προσθήσω δὲ μηδ' ἰδίου δίκην ἀξιώσαντα λαβεῖν παρ' ἐμοῦ μήθ' ὑπὲρ τῆς πόλεως μήθ' ὑπὲρ αὐτοῦ, στεφάνου καὶ ἐπαίνου κατηγορίαν ἥκειν συνεσκευασμένον καὶ τοσουτουσὶ λόγους ἀνηλωκέναι ἰδίας ἔχθρας καὶ φθόνου καὶ μικροψυχίας ἐστὶ σημεῖον, οὐδενὸς χρηστοῦ. Hoc exemplum simul documento est, quanta cum audacia Demosthenes veritatem invertere amaverit.

φανερῶς ἐξηλέγχου] Nec tamen Aeschines Demosthenem horum criminum nomine in iudicium adduxit: causa disceptabatur opinor in contionibus apud populum. Cf. § 223.

§ 222. τὰ περὶ τὰς τριήρεις] De lege ista Demosthenica cf. Schaefer II 491. Et largitione divitum corruptum multa Demosthenem mutasse in illa lege auctor etiam est Dinarch. I 42: εἰσί τινες ἐν τῷ δικαστηρίῳ τῶν ἐν τοῖς τριακοσίοις γεγενημένων, ὅθ' οὗτος ἐτίθει τὸν περὶ τῶν τριηράρχων νόμον; οὐ φράσετε τοῖς πλησίον ὅτι τρία τάλαντα λαβὼν μετέγραφε καὶ μετεσκεύαζε τὸν νόμον καθ' ἑκάστην ἐκκλησίαν, καὶ τὰ μὲν ἐπώλει ὧν εἰλήφει τὴν τιμήν, τὰ δ' ἀποδόμενος οὐκ ἐβεβαίου; De hac immutatione legis nihil sane Demosthenes, cf. § 103.

περὶ τῶν τριακοσίων] Dem. 42, 3. 4. 5. 25. 18, 171. Isae. 6, 60. Din. I 42. Ex his locis patet trecentos quidem cives, qui maximo censu essent, semper sic esse appellatos, minime vero ex his locis efficitur, Demosthenis legem inscriptam fuisse περὶ τῶν τριακοσίων. Immo Dinarchi exemplo intellegitur Demosthenem legem tulisse non περὶ τῶν τριακοσίων, sed περὶ τῶν τριηράρχων. Cf. etiam Dem. 312. Quare nescio an illud quod in Aeschinis libris legitur tam περὶ τῶν τριακοσίων quam περὶ τῶν τριακοσίων νεῶν ad variam grammaticorum explicationem referendum videatur. Nam cum paulo ante dixisset Aeschines τὰ περὶ τὰς τριήρεις καὶ τοὺς τριηράρχους ἁρπάγματα, si solum poneret ὅτε νομοθετήσας, oratio huiusmodi minime esset obscura et quam legem vellet plane significaret.

ἐπιστάτην τοῦ ναυτικοῦ] Haec potestas extra ordinem Demostheni mandata videtur, cf. A. Schaefer II 490. Fuerat simul,

ἐξηλέγχθης ὑπ' ἐμοῦ ἑξήκοντα καὶ πέντε νεῶν ταχυναυτουσῶν τριηράρχους ὑφῃρημένος, πλεῖον τῆς πόλεως ἀφανίζων ναυτικὸν, ἢ ᾧ ποτε Ἀθηναῖοι τὴν ἐν Νάξῳ ναυμαχίαν Λακεδαιμονίους καὶ Πόλλιν ἐνίκησαν; οὕτω 223 δὲ ταῖς αἰτίαις ἐνέφραξας τὰς κατὰ σαυτοῦ τιμωρίας, ὥστε τὸν κίνδυνον εἶναι μὴ σοὶ τῷ ἀδικήσαντι ἀλλὰ τοῖς ἐπεξιοῦσι, πολὺν μὲν τὸν Ἀλέξανδρον καὶ τὸν Φίλιππον ἐν ταῖς διαβολαῖς φέρων, αἰτιώμενος δέ τινας ἐμποδίζειν τοὺς τῆς πόλεως καιροὺς, ἀεὶ τὸ παρὸν λυμαινόμενος, τὸ δὲ μέλλον κατεπαγγελλόμενος. οὐ τὸ τελευταῖον εἰσαγγέλλεσθαι μέλλων ὑπ' ἐμοῦ τὴν Ἀναξίνου σύλληψιν τοῦ Ὠρείτου κατεσκεύασας, τοῦ τὰ ἀγοράσματα Ὀλυμπιάδι ἀγοράζοντος; καὶ τὸν αὐτὸν ἄνδρα διεστρέβλωσας τῇ 224

1 ταχυναυσῶν elh. 2 ὑφῃρημένους a. πλέον an. πόλεως] *add.* B: ἡμῶν, *om.* A[h]. 3 ᾧ ποτε W, ὁπότε A[h], ὅτε B, ὅτῳ Cob. 4 πόλιν eln, πάλλιν a. 7 τὸν *sec. om.* B. 11 ἀναξίου e. 12 κατάσκευάσας khagm. ὀλυμπιάσιν elh. 13 δὶς στρεβλώσας B.

ut ait Hyperides (I 2, 16), τῶν ὅλων πραγμάτων ἐπιστάτης.

ἐξηλέγχθης] Dem. contra § 312: διτάλαντον δ' εἶχες ἔρανον δωρεὰν παρὰ τῶν ἡγεμόνων τῶν συμμοριῶν ἐφ' οἷς ἐλυμήνω τὸν τριηραρχικὸν νόμον. Atque Demosthenis legem ab Aeschine non tum cum ille promulgasset sed multo post cum iam dudum in usu esset petitam esse, firmis argumentis demonstravit A. Boeckh, Staatsh. I 745. Hoc certum est hunc inpetum factum esse ab Aeschine ante annum 335, cf. A. Schaefer III 125, 5.

πλεῖον—ἢ ᾧ ποτε κτλ.] Si quidem Diodoro fides habetur, octoginta tribus navibus Athenienses apud Naxum pugnaverant, cf. A. Schaefer I 36. Diod. XV 34.

§ 223. ταῖς αἰτίαις ἐνέφραξας] Schol.: ἀντὶ τοῦ τῷ ἀντικατηγορεῖν ἐπετείχισας σαυτὸν τοῦ μὴ δοῦναι δίκην.

πολὺν] h. l. passive is de quo multa dicuntur, aliis locis eum significat, qui multa dicit, qui loquax est. Bremi.

Ἀναξίνου] Schol.: οὗτος ἐπεδήμησεν Ἀθήνησιν διαπεμφθεὶς ὑπ' Ὀλυμπιάδος τῆς Ἀλεξάνδρου μητρὸς ὠνήσασθαί τινα αὐτῇ, Δημοσθένης δὲ αἰτιασάμενος κατάσκοπον ἥκειν παρὰ Ἀλεξάνδρου ἠνάγκασε συλληφθῆναι, καὶ βασανιζόμενος καὶ στρεβλούμενος περὶ τοῦ πράγματος ἐκεῖνος ἐτελεύτησε. Cf. Dem. 137 de Aeschine: πάλιν μετὰ ταῦθ' ὕστερον Ἀναξίνῳ τῷ κατασκόπῳ συνιὼν εἰς τὴν Θράσωνος οἰκίαν ἐλήφθη. Din. I 63. Res accidit Ol. 109, 4 vel Ol. 110, 1 = 340. Atque cum Anaxinus esset Orites, Aeschines autem Demosthenem in ius iudiciumque vocaturus esset largitionis crimine quam ab Euboeensibus Oritisque accepisset, facile intellegitur, cur et Aeschines cum Anaxino conloquia habuerit et Demosthenes hunc hominem e medio sustulerit. Hinc apparet etiam, cur Aeschines iam ab hac causa desistere coactus fuerit, cf. Lys. I 43: οὔτε συνῄδει κακὸν οὐδὲν ὃ ἐγὼ δεδιὼς μή τις πύθηται ἐπεθύμουν αὐτὸν ἀπολέσαι. Prorsus aliter iudicavit Schaefer II 462.

σαυτοῦ χειρὶ, γράψας αὐτὸν θανάτῳ ζημιῶσαι, παρ' ᾧ ποτ' ἐν Ὠρεῷ κατηγάγου καὶ ἀπὸ τῆς αὐτῆς τραπέζης ᾧ ἔφαγες καὶ ἔπιες καὶ ἔσπεισας καὶ τὴν δεξιὰν ἐνέβαλες τοῦτον ἀπέκτεινας. καὶ περὶ τούτων ἐν ἅπασιν Ἀθηναίοις ἐξελεγχθεὶς ὑπ' ἐμοῦ καὶ κληθεὶς ξενοκτόνος οὐ τὸ ἀσέβημα ἠρνήσω, ἀλλ' ἀπεκρίνω ἐφ' ᾧ καὶ ὁ δῆμος ἀνεβόησεν καὶ ὅσοι ξένοι περιέστασαν. ἔφησθα γὰρ τοὺς τῆς πόλεως ἅλας περὶ πλείονος ποιήσασθαι τῆς ξενικῆς
225 τραπέζης. ἐπιστολὰς γὰρ σιγῶ ψευδεῖς καὶ κατασκόπων συλλήψεις καὶ βασάνους ἐπ' αἰτίαις ἀγενήτοις, ὡς ἐμοῦ μετά τινων νεωτερίζειν βουλομένου. ἔπειτα ἐπερωτᾶν με,

1 ἔγραψας B. ζημιῶσαι, παρ' ᾧ ποτ' W ex Cob. c. 2 κατηγάγου Cob., κατήγου C. ᾧ *add.* W. 3 ἐνέβαλες] *add.* A$^h$: κατ' ἀνδρὸς φίλου καὶ ξένου, B: ἄνδρα φίλον καὶ ξένον ποιούμενος, *del.* W. 4 τοῦτον Cob., καὶ τοῦτον C. 6 ἀπεκρίνου Bh. καὶ *add.* W, ὁ δῆμ. ἀνεβ. A$^h$, ἀνεβ. ὁ δῆμος B (ἂν ἐβ. n). 7 περιέστησαν A, *add.* C: τὴν ἐκκλησίαν, *del.* W. 8 ποιεῖσθαι klh. 9 γὰρ e, δὲ x (μὲν omisso σιγῶ n). 11 νεωτερ. W, νεωτ. ἐν τῇ πόλει A$^h$, ἐν τῇ πόλει νεωτ. B. ἐρωτᾷ e, ἐρωτᾷν klh.

§ 224. ἐν Ὠρεῷ] A. Schaefer II 462 coniecit, Anaxinum olim Atheniensium proxenum legatos domum accepisse, cf. II 186. 234. Sed nescio an alia etiam publica Oritarum negotia Anaxinus tractaverit.

τοῦτον ἀπέκτεινας] Non tam eculeo tormentisque quam plebiscito promulgato: hunc a te inpetrare potuisti ut summo supplicio affici iuberes?

τοὺς τῆς πόλεως ἅλας] Cf. II 22, ubi Demosthenes in simili ratione: τοὺς γὰρ τῆς πόλεως ἅλας καὶ τὴν δημοσίαν τράπεζαν περὶ πλείστου δή φησι ποιεῖσθαι, οὐκ ὢν ἐπιχώριος οὐδ' ἐγγενής. Dem. 19, 189: ποῦ δ' ἅλες; ποῦ τράπεζα; ποῦ σπονδαί; ταῦτα γὰρ τραγῳδεῖ περιιὼν κτλ. Quodsi Aeschines haec contra Demosthenem in contione iactare poterat, veri simile est nullam criminis suspicionem nec ab quaesitore nec tormentis expressam fuisse, qua Anaxini culpa probaretur. Nam si ποιήσασθαι verum est, si ποιεῖσθαι ex altera oratione invectum videtur, ex isto aoristo elucet, altercationem illam inter Aeschinem et Demosthenem post Anaxini mortem factam esse.

§ 225. ἐπιστολὰς ψευδεῖς] Schol.: ὅτι συκοφαντῶν εἴληφεν Αἰσχίνου ἐπιστολὰς ἐπὶ προδοσίᾳ. Veri simile autem est Demosthenem non modo Aeschinis epistulas interceptas, sed etiam aliorum hominum litteras suppositas in medium protulisse, quibus proditionis crimen probari posse videretur. Quod autem Demosthenes adversarium suum acerbissimum, cum summa potentia florens paene unus in republica dominabatur, nec probis nec inprobis argumentis tollere potuit, maxime ego contribuerim innocentiae Aeschinis et integritati.

αἰτίαις ἀγενήτοις] Similiter μῦθοι ἀγένητοι dicuntur = fabulae rerum numquam gestarum, cf. Steph. Thes.

νεωτερίζειν] Non tam reipublicae conmutationem quam libertatis proditionem indicare videtur.

ἔπειτα] Indignationem quandam et duarum sententiarum na-

ὡς ἐγὼ πυνθάνομαι, μέλλει, τίς ἂν εἴη τοιοῦτος ἰατρὸς
ὅστις τῷ νοσοῦντι μεταξὺ μὲν ἀσθενοῦντι μηδὲν συμβου-
λεύοι, τελευτήσαντος δὲ ἐλθὼν εἰς τὰ ἔνατα διεξίοι πρὸς
τοὺς οἰκείους ἅττ' ἂν ἐπιτηδεύσας ὑγιὴς ἐγένετο. σαυτὸν 226
δ' οὐκ ἀντερωτᾷς, τίς ἂν εἴη δημαγωγὸς τοιοῦτος ὅστις
τὸν μὲν δῆμον θωπεῦσαι δύναιτο, τοὺς δὲ καιροὺς ἐν
οἷς ἦν σώζεσθαι τὴν πόλιν ἀποδοῖτο, τοὺς δ' εὖ φρο-
νοῦντας κωλύοι διαβάλλων συμβουλεύειν, ἀποδρὰς δ' ἐκ
τῶν κινδύνων καὶ τὴν πόλιν ἀνηκέστοις συμφοραῖς περι-

1 *μέλλειν* glh, *om.* e. *ἂν οὖν* a. 2 *συμβουλεύει* e, *συμβουλεύει* (superscr. οι) a. 3 *δὲ αὐτοῦ* B. *ἔνατα* ae, *ἔννατα* x. 4 *ἅττ' ἂν . . ἐγένετο* W, *ἃ . . . ἐγένετο ἂν* $A^h$, *ἃ . . . ἂν ἐγένετο* B. 5 *ἀνερωτᾷς* Aa. 7 *ἀποδοῖτο* ae, *ἀπόδοιτο* x. 8 *κωλύει* kgm. *συμβουλεύων* n. 9 *συμφοραῖς* $A^h$, *κακοῖς* B.

turalem discrepantiam haec particula indicat. Cf. Frohberger ad Lys. 32, 15: *ἔπειτα σὺ ἐτόλμησας εἰπεῖν ἔχων τοιαῦτα χρήματα, ὡς δισχιλίας δραχμὰς ὁ τούτων πατὴρ κατέλιπε.* Et qua ratione ista Demosthenis interrogatio cum superiore actione discrepare videatur, deinceps § 226 explicatur.

*ἰατρός*] Dem. 243: *νῦν ἡμῖν λέγεις περὶ τῶν παρεληλυθότων; ὥσπερ ἂν εἴ τις ἰατρὸς ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν εἰσιὼν μὴ λέγοι μηδὲ δεικνύοι δι' ὧν ἀποφεύξονται τὴν νόσον, ἐπειδὴ δὲ τελευτήσειέ τις αὐτῶν καὶ τὰ νομιζόμεν' αὐτῷ φέροιτο, ἀκολουθῶν ἐπὶ τὸ μνῆμα διεξίοι „εἰ τὸ καὶ τὸ ἐποίησεν ἅνθρωπος οὑτοσί, οὐκ ἂν ἀπέθανεν.“*

*τὰ ἔνατα*] Sacra, quae manibus nono die a funere elato offerebantur (efferri autem solebant mortui die tertio quam exspiraverant), faciebant consanguinei et familiares; exclusi ab his erant defunctis invisi. Ad exsequias usque funera in atrio proponebantur. Bremi. Cf. Isae. II 37. 46.

§ 226. *σαυτὸν δ' οὐκ ἀντερωτᾷς*] *κατ' ἀποστροφήν*, Schol. Sermo est a iudice aversus, cf. R. Volkmann, Hermagoras 276.

*θωπεῦσαι*] multitudinem blandis et humilibus captare artibus. Est igitur haec vox acerbissima. Assentitur autem plebi is etiam qui quamvis vehementer inertiam reprehendat, libidines tamen plebis irritat ac movet. Ita facit, qui hostium mores dehonestet, laudes detrahat, vires despiciat, contumelias denique temere iactet. Summa ars est prudentia cum gravitate coniuncta, quae in Demosthene nulla prorsus erat.

*δύναιτο*] An ingenii facultatibus?

*διαβάλλων*] His artibus Demosthenis se inpeditum fuisse quo minus quae sentiret civitati suaderet, supra explicaverat Aeschines.

*ἀνηκέστοις συμφοραῖς*] In archetypo substantivum *κακὸν* supra versum adscriptum fuisse videtur: recensionum auctores pro sua quisque ratione alter alterum nomen tenuit. Ut *συμφοραῖς* reciperem, movit me etiam Andoc. I 142: *πολλῶν βουλομένων τὴν πόλιν ἀνηκέστοις συμφοραῖς περιβαλεῖν.* Nam multum in Andocidis orationibus Aeschinem versatum fuisse supra iam conmemoravi. Accedit quod eadem eorundem nominum permutatio deprehenditur § 114. Contra *ἀνήκεστον κακὸν* magis in usu fuisse conprobatur multis Platonis et Isocratis exemplis, quae L. Dindorf in Steph. Thes. attulit. Cf.

*βαλὼν ἀξιοίη στεφανοῦσθαι ἐπ' ἀρετῇ, ἀγαθὸν μηδ' ἓν πεποιηκώς, πάντων δὲ τῶν κακῶν αἴτιος γεγονώς, ἐπερωτῴη δὲ τοὺς συκοφαντηθέντας ἐκ τῆς πολιτείας ἐπ' ἐκείνων τῶν καιρῶν ὅτ' ἐνῆν σώζεσθαι, διὰ τί αὐτὸν οὐκ*
227 *ἐκώλυσαν ἐξαμαρτάνειν, ἀποκρύπτοιτο δὲ τὸ πάντων τελευταῖον, ὅτι τῆς μάχης ἐπιγενομένης οὐκ ἐσχολάζομεν περὶ τὴν σὴν εἶναι τιμωρίαν, ἀλλ' ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως ἐπρεσβεύομεν· ἐπειδὴ δὲ οὐκ ἀπέχρη σοι δίκην μὴ δεδωκέναι, ἀλλὰ καὶ δωρεὰς αἰτεῖς καταγέλαστον ἐν τοῖς Ἕλλησι τὴν πόλιν ποιῶν, ἐνταῦθ' ἐνέστην καὶ τὴν γραφὴν ἀπήνεγκα.*

228 *Καὶ νὴ τοὺς θεοὺς τοὺς Ὀλυμπίους, ὧν ἐγὼ πυνθάνομαι Δημοσθένην λέξειν, ἐφ' ᾧ νυνὶ μέλλω λέγειν δεῖ καὶ μάλιστ' ἀγανακτεῖν. ἀφομοιοῖ γάρ μου τὴν φύσιν ταῖς*

1 *ἀξιοίη* Franke, *ἀξιοῖ* C. *μηδὲν πεπ.* A[h], *πεπ. μηδὲν* B, *em.* W. 3 *τοὺς om.* n. *ἐκ τῆς πολιτ. nescio an falsum sit.*
5 *τῶν* lh. 6 *ἐπιγινομένης* A[h], *γενομένης* a. *ἐσχόλαζον* gm. 7 *εἶναι τὴν μωρίαν* k. 8 *ἐπέχρη* n. 10 *ἀνέστην* h.
12 *ὢν* n, *ὡς* x. 13 *δημοσθένη* e. *δεῖ καὶ μάλιστ' ἀγανακτεῖν* W, *μάλιστα ἀγανακτῶν* ekh, *μάλιστα ἀγανακτῶ* l, *ἀγανακτῶν μάλιστα* B. 14 *ταῖς σειρῆσιν* Baiter, *ὡς ἔοικε τ. σειρ.* A[h],

de Andocide Blass, Beredtsamk. 291.

*τοὺς συκοφ. ἐκ τῆς πολιτείας*] Optime hanc audaciam dicendi mente adsecutus interpretatus est Bremius: qui per calumnias a rerum publicarum administratione depulsi sunt. Possis etiam sic circumscribere: qui calumniis et malitia quodammodo civitate amoti ius suum obtinere non poterant. Vi profecto oppressi Demosthenis adversarii obmutescere coacti erant.

§ 227. *ἀποκρύπτοιτο*] Ex morata oratione in propriam progreditur earum rerum conmemorationem, quas crimini vertere volt Demostheni, quibus in rebus haec est primaria, quod celare studeat civi patriae amanti multo graviora fuisse facienda quam a c c u s a r e in iudicio eos, qui patriam in tantum discrimen praecipitaverint, patriam scilicet ipsam a r u i n a, quae inpendebat, d e f e n d e r e. Bremi.

*ἐνέστην*] = me interposui ut reipublicae adessem. Si qua res in contione ageretur, dixisset *ἀνέστην*. Cf. § 79.

§ 228. *δεῖ — ἀγανακτεῖν*] Oratio hoc loco misere est corrupta. Ac primum quidem in scriptura codicum *ἀγανακτῶν* manifestum apparet infinitivi modi vestigium. Et profecto probabile est ita orationem fuisse conformatam, ut pro indignitate totius rei diceret omnes qui adessent et audirent ira et odio conmotos esse debere in hac tanta malitia et calumnia. Cf. Lycurg. 25: *ἄξιον δ' ἐστὶν ἐφ' οἷς μέλλω λέγειν ἀγανακτῆσαι καὶ μισῆσαι τουτονί.* Iram autem non propriam sed omnium conmunem cum indicare voluerat, non poterat facere quin aut iudices appellaret (*καὶ μάλισθ' ὑμᾶς ἀγανακτεῖν χρή*) aut solam conmunis officii notionem efferret (*χρή, δεῖ, δίκαιόν ἐστιν*). Hoc praeferendum duxi ad lenitatem mutationis. Cf. etiam Schol. Laur.

*ἀφομοιοῖ*] Non semel claram

Σειρῆσιν. καὶ γὰρ ἐκείνων ᾠδαῖς φησιν οὐ κηλεῖσθαι τοὺς ἀκροωμένους ἀλλ' ἀπόλλυσθαι, διόπερ οὐδ' εὐδοκιμεῖν τὴν τῶν Σειρήνων μουσικήν· καὶ δὴ καὶ τὴν ἐμπειρίαν καὶ τὴν φύσιν μου γεγενῆσθαι ἐπὶ βλάβῃ τῶν ἀκουόντων. καίτοι τὸν λόγον τοῦτον ὅλως μὲν ἔγωγε οὐδενὶ πρέπειν ἡγοῦμαι περὶ ἐμοῦ λέγειν· τῆς γὰρ αἰτίας αἰσχρὸν τὸν αἰτιώμενόν ἐστι τὸ ἔργον μὴ ἔχειν ἐπιδεῖξαι· εἰ δ' ἦν ἀναγκαῖον ῥηθῆναι, οὐ Δημοσθένους ἦν ὁ λόγος, 229
ἀλλ' ἀνδρὸς στρατηγοῦ μεγάλα μὲν τὴν πόλιν κατειργασμένου, λέγειν δὲ ἀδυνάτου καὶ τὴν τῶν ἀντιδίκων

τ. σ. ὡς ἔοικε B. 1 ἐκείνων ᾠδαῖς φησιν οὐ κηλεῖσθαι W, ἐκείνας φησὶν οὐ κηλεῖν $A^h$, ὑπ' ἐκείνων οὐ κηλεισθαί φησι B. 2 ἀπόλλυσθε a. 3 οὐδ' $A^h$n, οὐκ agm. εἰρημένων n. καὶ pr. om. elh. 4 τὴν ἐμπειρίαν W, τὴν τῶν ἐμῶν λόγων ἐμπειρίαν B (ἀπειρίαν a), τὴν τῶν ἐμῶν εὐπορίαν λόγων $A^h$. βλάβην n. 6 τρέπειν l. 8 ἦν] ἐστὶν a. 9 τὴν πόλιν $A^h$, τῇ πόλει B. 10 ἀδύνατον e. τὴν τῶν] διὰ τοῦτο $g^1$.

Aeschinis vocem perstringit Demosthenes, ut de cor. 259. 285. 310, Sirena nusquam appellat. At cum tale aliquid et fingere potuisse Aeschinem et ab aliis dicturum illud esse adversarium audire non sit veri simile, fortasse ita dixit in oratiuncula sua Ctesiphon, quam item ei videtur Demosthenes scripsisse (cf. § 201), sive postea quavis alia occasione. Westermann. Ego cur non antea quavis alia occasione in sermonibus et circulis Demosthenes Aeschinem Sirena appellare potuerit, non video.

*ἐκείνων ᾠδαῖς*] Non ab Sirenibus hominum animi deleniuntur sed Sirenum cantu. Nec magis Sirenes cum Aeschine conparantur quam Sirenum vox cum Aeschinis. Quare vestigia codicum secutus novam temptavi emendationem. Cantus quidem Sirenum pertimescuntur non propter Sirenum horribilem naturam sed propter letiferam illorum vim ac dulcedinem.

*τὴν ἐμπειρίαν*] Orationis concinnitas documento est, *τῶν ἐμῶν λόγων* tamquam interpretamentum grammaticorum sedulitati deberi. Illud quidem constat *ἐμπειρίαν* = *δεινότητα* ad eloquentiae vim designandam haud alienum esse ab consuetudine graeci sermonis, cf. Dem. 18, 277: *κἀκεῖν' εὖ οἶδ' ὅτι τὴν ἐμὴν δεινότητα — ἔστω γάρ . . . . εἰ δ' οὖν ἐστὶ καὶ παρ' ἐμοί τις ἐμπειρία τοιαύτη κτλ.*

*τῆς γὰρ αἰτίας*] Schol.: *ἡ σύνταξις· αἰσχρὸν γάρ ἐστιν τὸν αἰτιώμενον τῆς αἰτίας τὸ ἔργον μὴ ἔχειν ἀποδεῖξαι.* Conlocatio verborum satis est artificiosa = *c* (*a b a*) *c* (*c d*). Principio igitur et exitu totius conplexionis concluditur obiectiva sententia, in medio posita est notitia subiectiva. Atque dissectis verbis sententiisque describitur conmoti animi vehementia = Bei einem Vorwurf ist es schimpflich, wenn der Urheber die zu Grunde liegende Thatsache nicht im Stande ist aufzuweisen.

§ 229. *ἀναγκαῖον*] Si e republica erat hanc nimiam oratoris artem detegi et nudari tamquam venenum conmuni saluti pestiferum.

*ἀνδρὸς στρατηγοῦ*] Nescio an Phocionis imaginem cogitatione sibi Aeschines informaverit.

διὰ τοῦτο ἐξηλωκότος φύσιν, ὅτι σύνοιδεν ἑαυτῷ μὲν οὐδὲν ὧν διαπέπρακται δυναμένῳ φράσαι, τὸν δὲ κατήγορον ὁρᾷ δυνάμενον καὶ τὰ μὴ πεπραγμένα ὑφ' αὑτοῦ παριστάναι τοῖς ἀκούουσιν ὡς διῴκηκεν. ὅταν δ' ἐξ ὀνομάτων συγκείμενος ἄνθρωπος, καὶ τούτων πικρῶν καὶ περιέργων, ἔπειτα ἐπὶ τὴν ἁπλότητα καὶ τὰ ἔργα καταφεύγῃ, τίς ἂν ἀνάσχοιτο; οὗ γε τὴν γλῶτταν ὥσπερ τῶν αὐλῶν ἐάν τις ἀφέλῃ, τὸ λοιπὸν οὐδέν ἐστιν.

230 Θαυμάζω δ' ἔγωγε ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ζητῶ, πρὸς τί ἂν ἀποβλέψαντες ἀποψηφίσαισθε τὴν γρα-

3 ὑφ' αὑτοῦ a, ὑπ' αὐτοῦ Agm, ὑφ' ἑαυτοῦ n. 5 ἄνθρ. ἐξ ὀνομ. συγκ. Dion. Hal. 1064. τῶν πικρῶν A[h]. 7 οὗ γε W, οὗτος e, οὗ x. 8 ἀφέλοι n. 10 ἂν ἀποβλέψαντες e, ἀναβλέψαντες klh, ἂν ἀποβλέποντες B (ἂν *om.* n). ἀποψηφίσαισθε Steph., -φίσεσθε egmn, -φίσεσθαι a, -φίσασθε k, -φίσασθαι l.

*φράσαι*] = eloqui, demonstrare, explicare dicendo.

*πικρῶν*] Dion. Hal. de Dem. eloq. 55 p. 1123: *τὸ μὲν γὰρ πικραίνειν τὴν διάλεκτον, ὅταν ἀπαιτῶσιν οἱ καιροί, πολλάκις δ' ἀπαιτοῦσι, καὶ μάλιστα ἐν τοῖς παθητικοῖς τῶν ἐπιχειρημάτων, ἐγκώμιόν ἐστι τοῦ ῥήτορος.*

*περιέργων*] Dion. Hal. 56 p. 1124: *δεχέσθω δέ τις τὴν περιεργίαν τῶν ὀνομάτων ὑπ' αὐτοῦ* (i. e. Aesch.) *λέγεσθαι νυνὶ περιττὴν ἐργασίαν καὶ ἐξηλλαγμένην τῶν ἐν ἔθει. — ὁ μὲν γὰρ ἀνὴρ ἐν μὲν ταῖς δημηγορίαις καὶ τοῖς δημοσίοις ἀγῶσι πρὸς τὸ μέγεθος καὶ τὸ ἀξίωμα τῶν ὑποθέσεων ἀποβλέπων κέχρηται τῇ τοιαύτῃ κατασκευῇ πολλάκις· ἐν δὲ τοῖς ἰδιωτικοῖς λόγοις, οὓς περὶ μικρῶν συμβολαίων ἰδιώταις ἀνθρώποις ἔγραψε, τὴν κοινὴν καὶ συνήθη λέξιν ἐπιτηδεύει, σπανίως δέ ποτε τὴν περιττήν, καὶ οὐδὲ ταύτην ἐπ' αὐτοφώρῳ ἀλλ' ὥστε λαθεῖν.* Quasi vero Aeschines de Demosthenis eloquentia detraxerit! Immo vero nimiam vim dicendi atque insuperabilem artem in eo esse profitetur.

*ἔπειτα*] Cf. Frohberg. Lys. 19, 51 et App. p. 206.

*ἁπλότητα*] simplicitatem et veritatem (*ἔργα*), quae rhetorum artibus multum profecto obscurabatur.

*οὗ γε τὴν γλῶτταν*] Demades hoc fertur iocose et acerbe de Atheniensibus dixisse: *Δημάδης τοὺς Ἀθηναίους εἴκαζεν αὐλοῖς, ὧν εἴ τις ἀφέλοι τὴν γλῶτταν τὸ λοιπὸν οὐδέν ἐστι.* Faceta sane conparatio. Bremi.

§ 230—233: Schol.: *ἐντεῦθεν οἱ ἐπίλογοι εἰργασμένοι ἐν δέκα τόποις, καὶ ἔστιν ὁ πρῶτος τόπος μικρὸς καὶ σύντομος, ὑπόμνησις τῶν περὶ τὸ πρᾶγμα συνεκτικῶν καὶ τῶν περὶ τὸ πρόσωπον παροξύνουσα τοὺς δικαστὰς ἐν ἀναμνήσει τῶν πάλαι κηρυγμάτων.*

§ 230. *θαυμάζω*] Apsin. Rhet. I 390: *ἔστι δὲ ἀναμιμνήσκειν τῶν εἰρημένων καὶ καθ' ἕτερον τρόπον τῷ σχήματι τῆς πεύσεως χρώμενον, ἀνερωτῶντα τοὺς δικαστάς, διὰ τί ἀφήσετε τὸν φεύγοντα, ὡς Αἰσχίνης πεποίηκε. πυνθάνεται γὰρ τῶν δικαστῶν· διὰ τί ἀφήσετε τὸν Κτησιφῶντα; ὅτι νόμιμον τὸ ψήφισμα; ἀλλὰ δέδεικται παρὰ τοὺς νόμους γεγραμμένον. ὅτι Δημοσθένης εὔνους τῇ πόλει; ἀλλὰ καὶ οὗτος δέδεικται κακόνους ὢν τῷ δήμῳ. ὅτι Κτησιφῶν αὐτὸς ἐξ*

*φήν. πότερον ὡς τὸ ψήφισμά ἐστιν ἔννομον; ἀλλ᾿ οὐδεμία πώποτε γνώμη παρανομωτέρα γεγένηται. ἀλλ᾿ ὡς ὁ τὸ ψήφισμα γράψας οὐκ ἐπιτήδειός ἐστι δίκην δοῦναι; οὐκ ἄρ᾿ εἰσὶ παρ᾿ ὑμῖν εὔθυναι βίου, εἰ τοῦτον ἀφήσετε. ἐκεῖνο δ᾿ οὐ λυπηρὸν, εἰ πρότερον μὲν ἐνεπίμπλατο ἡ ὀρχήστρα χρυσῶν στεφάνων οἷς ὁ δῆμος ἐστεφανοῦτο ὑπὸ τῶν Ἑλλήνων, διὰ τὸ ξενικοῖς στεφάνοις ταύτην ἀποδεδόσθαι τὴν ἡμέραν, ἐκ δὲ τῶν Δημοσθένους πολιτευμάτων ὑμεῖς μὲν ἀστεφάνωτοι καὶ ἀκήρυκτοι γίγνεσθε,*
*οὗτος δὲ κηρυχθήσεται; καὶ εἰ μέν τις τῶν τραγικῶν ποι-* 231
*ητῶν τῶν μετὰ ταῦτα ἐπεισαγόντων ποιήσειεν ἐν τραγῳδίᾳ τὸν Θερσίτην ὑπὸ τῶν Ἑλλήνων στεφανούμενον, οὐδεὶς ἂν ὑμῶν ὑπομείνειεν, ὅτι φησὶν Ὅμηρος ἄνανδρον εἶναι καὶ συκοφάντην· αὐτοὶ δ᾿ ὅταν τὸν τοιοῦτον ἄνθρωπον στεφανῶτε, οὐκ οἴεσθε ἐν ταῖς τῶν Ἑλλήνων δόξαις συρίττεσθαι; οἱ μὲν γὰρ πατέρες ὑμῶν τὰ ἔνδοξα καὶ λαμπρὰ τῶν πραγμάτων ἀνετίθεσαν τῷ δήμῳ,*

1 *πότερ᾿* Aʰ. 3 *οὐκ om.* a. 4 *εὐθῦναι* C. 6 *οὓς* Aʰ. 11 *ἐπεισαγαγόντων* e. 13 *ὅμηρ. ἄν.* W, *αὐτὸν ὅμ. ἄν.* Aʰ, *ὅμ. ἄν. αὐτὸν* B. 14 *τῶν τοιούτων* l. 15 *στεφανοῦτε* elh. *ταῖς δ. ταὶς τῶν ἑλλήν.* k, *ταῖς δόξαις τῶν ἑλλ.* elh.

*ἀγνοίας τὸ ψήφισμα ἁμαρτὼν ἔγραψεν, ἀναγκάσαντος αὐτόν τινος; οὐδὲ διὰ τούτων οὐδὲν αὐτοῦ ἀποψηφιεῖσθε.* Cf. etiam Seyffert, Schol. Lat. I 87 sq.

*παρανομωτέρα γεγένηται*] Nisi Apsines nimium ingenio suo indulsisset, ad illius exemplum proponerem: *παρανομωτέρα ἀποδέδεικται.*

*οὐκ ἐπιτήδειος*] Attici hominem *ἐπιτήδειον* vocabant, quem Sallustius Iug. 20, 2 opportunum iniuriae. Sic Plutarchus scribit tyrannos Athenarum interfecisse primum invisissimum omnium sycophantarum, qui quia primo loco sese obtulerat neque propter publicum odium latere poterat, ab ea re *ἐπιτήδειος* vocatus est. Dem. Androt. 69: *ἀνθρώπους πόρνας· — καίτοι εἴ τισιν ἄρα δοκοῦσιν ἐπιτήδειαι ἐκεῖναι παθεῖν, ἀλλὰ τό γε πρᾶγμα οὐκ ἐπιτήδειον γίγνεσθαι κτλ.* Cf. etiam Frohberg. Lys. 31, 2. Dem. 9, 61: *ὁ δῆμος ἔφη αὐτὸν ἐπιτήδειον εἶναι ταῦτα παθεῖν.* 20, 83. Andoc. 4, 36.

*εὔθυναι βίου*] De Ctesiphontis moribus cf. 214.

*ταύτην τὴν ἡμέραν*] i. e. magnis Dionysiis, de quibus cf. C. F. Hermann Alterth. II § 59.

§ 231. *ἐπεισαγόντων*] Primum igitur honores publici propalam recitantur, deinde tragoediae aguntur. Schol.: *μετὰ γὰρ τοὺς στεφάνους εἰσέφερον τὰ δράματα.* Ad verbum autem *ἐπεισαγόντων* Schol. supplevit: *τὰ ἑαυτῶν δράματα.* Hoc dicitur de ipsis poetis, de histrionibus autem *ἐπεισιέναι*, cf. ad § 153.

*ἄνανδρον καὶ συκοφάντην*] His verbis breviter et vere iudicavit Aeschines de moribus atque ingenio Thersitis, cf. L. Doederlein Aufs. II 204.

*δόξαις*] = tacitis Graecorum iudiciis = cogitationibus.

*ἀνετίθεσαν*] Hom. *X* 100: *Πουλυδάμας μοι πρῶτον ἐλεγχείην*

*τὰ δὲ ταπεινὰ καὶ καταδεέστερα εἰς τοὺς ῥήτορας τοὺς φαύλους ἔτρεπον· Κτησιφῶν δ' ὑμᾶς οἴεται δεῖν ἀφελόντας τὴν ἀδοξίαν ἀπὸ Δημοσθένους περιθεῖναι τῷ δήμῳ.*

232 *καὶ φατὲ μὲν εὐτυχεῖς εἶναι, ὥς καὶ ἐστὲ καλῶς ποιοῦντες, ψηφιεῖσθε δ' ὑπὸ μὲν τῆς τύχης ἐγκαταλελεῖφθαι, ὑπὸ Δημοσθένους δὲ εὖ πεπονθέναι; καὶ τὸ πάντων ἀτοπώτατον, ἐν τοῖς αὐτοῖς δικαστηρίοις τοὺς μὲν τὰς τῶν δώρων γραφὰς ἁλισκομένους ἀτιμοῦτε, ὃν δ' αὐτοὶ μισθοῦ πολιτευόμενον σύνιστε, στεφανώσετε; καὶ τοὺς μὲν κριτὰς τοὺς ἐκ Διονυσίων, ἂν μὴ δικαίως τοὺς κυκλίους χοροὺς κρίνωσι, ζημιοῦτε· αὐτοὶ δὲ οὐ κριταὶ χορῶν καθεστηκότες ἀλλὰ νόμων καὶ πολιτικῆς ἀρετῆς, τὰς δωρεὰς οὐ κατὰ τοὺς νόμους οὐδ' ὀλίγοις καὶ τοῖς*

233 *ἀξίοις ἀλλὰ τῷ διαπραξαμένῳ δώσετε; ἔπειτ' ἔξεισιν ἐκ τοῦ δικαστηρίου ὁ τοιοῦτος κριτὴς ἑαυτὸν μὲν ἀσθενῆ πεποιηκώς, ἰσχυρὸν δὲ τὸν ῥήτορα. ἀνὴρ γὰρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει· ὅταν δ' ἑτέρῳ ταῦτα παραδῷ, καταλέλυκεν τὴν αὐτὸς*

3 *περιθεῖναι . . ὑπὸ* (5) *om.* n. 4 *ὡς ἐστὲ* el. 5 *δ'*] *μὲν* l. 10 *ἐκ τῶν Διον.* a. *ἂν* e, *ἐὰν* x. 11 *οὐκ ἐγκυκλίων χορῶν* A^h^, *οὐ κυκλ. χορ.* B, *em.* W. 12 *καθεστηκότες* M Tur., *καθ.* *οὐδ'* *κριταὶ* A^h^, *κριταὶ καθ.* B. 13 *τοὺς om.* e. *οὐδ'*] *ἀλλ'* k. *τοῖς om.* elh. 16 *γὰρ*] *γε* n, *δὲ* h[1]. Rhet. Gr. III 27. 28. 93. 18 *τὴν αὐτὸς* A^h^, *αὐτὸς τὴν* B.

*ἀναθήσει*, ubi Schol.: *ἀντὶ τοῦ περιάψει.*

*ἀδοξίαν*] = malam famam. Nam Stoicorum *εὐδοξίαν* Cicero latine dixit bonam famam, non gloriam.

§ 232. *καλῶς ποιοῦντες*] = et recte ita iudicatis, et iure ac merito felices vobismet ipsis videmini, qua formula suspicio invidiae depellitur, cf. Frohberg. ad Lys. 32, 17, 24, 14 App. 214.

*ὑπὸ τῆς τύχης κτλ.*] Hanc opinionem et Athenienses tum sequebantur et plurimi nunc doctorum amplexantur. Equidem credo nec populum Atheniensem nec Demosthenem a culpa conmunis interitus alienum fuisse.

*τοὺς κριτὰς τοὺς ἐκ Διον.*] Dem. Mid. 25—26.

*κυκλίους*] *Κύκλια* vel *ἐγκύκλια* sunt *τὰ κατ' ἐνιαυτὸν γιγνόμενα, οἷον χορηγίαι, γυμνασιαρχίαι καὶ ἱερῶν περίοδος.* F. A. Wolf vertit munera sollemnia, stata, ordinaria. Bremi.

*καθεστηκότες*] sc. *κριταί*, quod facile ex superiore enuntiato suppletur animo. An *κύριοι* in archetypo exciderat?

§ 233. *ἀνὴρ — βασιλεύει*] Herod. III 93: *γίνεται δὲ πᾶν σχῆμα λόγου καὶ διανοίας ἐν περιόδῳ, ἥτις ἐστὶ λόγος ἐν εὐπεριγράφῳ συνθέσει κώλων αὐτοτελῆ διάνοιαν ἀποτελῶν, οἷον ἀνὴρ γὰρ κτλ. περίοδος μὲν οὖν τοῦτο, κῶλα δὲ τῆς περιόδου, πρῶτον μὲν „ἀνὴρ γὰρ ἰδιώτης". δεύτερον δὲ „ἐν πόλει δημοκρατουμένῃ"· τρίτον „νόμῳ καὶ ψήφῳ βασιλεύει".*

*τὴν αὐτὸς αὐτοῦ δυναστείαν*]

αὐτοῦ δυναστείαν. ἐπειθ' ὁ μὲν ὅρκος, ὃν ὀμωμοκὼς δικάζει, συμπαρακολουθῶν αὐτὸν λυπεῖ· ἡ δὲ χάρις πρὸς ὃν ἐχαρίζετο ἄδηλος γεγένηται.

234 Δοκοῦμεν δ' ἔμοιγε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀμφότερα καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σωφρονοῦντες. ὅτι μὲν γὰρ ἐπὶ τῶν νυνὶ καιρῶν οἱ πολλοὶ τοῖς ὀλίγοις προΐεσθε τὰ τῆς δημοκρατίας ἰσχυρά, οὐκ ἐπαινῶ· ὅτι δ' οὐ γεγένηται φορὰ ῥητόρων τολμη-

2 λυπεῖ] *add.* C: δι' αὐτὸν (αὐτοῦ hm[2]) γὰρ οἶμαι γέγονε τὸ ἁμάρτημα, *del.* Bake. 3 γεγένηται] *add.* C: ἡ γὰρ ψῆφος ἀφανὴς φέρεται, *del.* Bake. 5 καὶ *pr. om.* l, καὶ — καὶ m[1]. 6 νῦν B. 8 φορὰ W, καθ' ἡμᾶς φορ. A[h], φορ. καθ' ἡμᾶς B.

De hac liberiore collocatione pronominis *αὐτὸς* cum reflexivo pronomine arctissime conligati cf. Lobeck ad Soph. Aiac. 906 p. 398. Schneider ad Isocr. IV 127.

§ 234—235: Altero loco a propria causa ascendit ad conmunem civitatis vituperationem et adhortationem: exemplo conprobatur, nisi libidini rhetorum resistatur, omnium salutem in maximo periculo versari.

§ 234. *ἀμφότερα κτλ.*] Bremius sic haec enarravit: „quem ad modum non est mirum per nostram nos inprudentiam in administrandis rebus civilibus in magna incurrisse pericula, sic ne ea quidem, quae nobis conmodo esse possint, nobis debentur ipsis sed fortunae, nec nos quidquam facimus ad rem iuvandam et regendam, verum quam obtulit opportunitatem fortuna, ea non utimur sed abutimur". Qua in ratione plura admixta esse video quae ab oratoris verbis aliena esse existimo. Ego sic statuo, *σωφρονεῖν εἰς τὴν πολιτείαν* significare: iis rebus quae tractantur in republica, modum quendam et ordinem et constantiam adhibere. Quare Aeschinem hoc dicere probabile est: Athenienses neque in secundis neque in adversis periculosisve rebus reipublicae eam quae debeant constantiam et prudentiam — nam haec quoque in *σωφροσύνῃ* continetur — adhibere. Desiderat hanc virtutem in constringenda rhetorum potentia. Ac si tamen respublica nondum oppressa est nequissimorum hominum inprobitate, hoc non prudentiae sed fortunae debetur. Nam superiore quidem aetate certe eversa est respublica nimia malorum hominum potentia, quod, si prudentia et constantia Athenienses contra eorum libidinem uterentur, fieri non potuisset.

*τὰ τῆς δημοκρατίας ἰσχυρά*] fundamenta reipublicae vel praesidia et tamquam nervi reipublicae, quae sunt in legum iudiciorumque severitate ac religione maximeque in aspernanda rhetorum adulatione, qua legum et iudiciorum sanctitas potissimum infringitur.

*φορά*] Hesych. IV 253: *πλημμύρα, σύστημα, καὶ ἡ τῶν μηχανικῶν ὀργάνων λαβή.* Illud autem significat inundationem et tamquam eluviem, hoc autem nimiam proventus ubertatem. Notissimum quidem est illud Demosthenis (18, 61): *παρὰ γὰρ τοῖς Ἕλλησιν πᾶσιν ὁμοίως φορὰν προδοτῶν καὶ δωροδόκων καὶ θεοῖς ἐχθρῶν ἀνθρώπων συνέβη γενέσθαι κτλ.* Nimirum, ut ait Polybius, Demosthenes in civitatibus qui suis consiliis adversarentur omnes tamquam proditores Graeciae notabat.

ρῶν ἅμα καὶ πονηρῶν, εὐτυχοῦμεν. πρότερον μέν γε τοιαύτας φύσεις ἤνεγκε τὸ δημόσιον, αἳ ῥᾳδίως οὕτω κατεκήλησαν τὸν δῆμον· ἔχαιρε γὰρ κολακευόμενος, ἔπειτ' αὐτὸν οὐχ οὓς ἐφοβεῖτο, ἀλλ' οἷς ἑαυτὸν ἐνεχείριζε, κατ-
235 έλυσαν· ἔνιοι δὲ αὐτῶν καὶ τῶν τριάκοντα ἐγένοντο, οἳ πλείους ἢ χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν πρὶν καὶ τὰς αἰτίας ἀκοῦσαι ἐφ' αἷς ἔμελλον ἀποθνήσκειν, καὶ οὐδ' ἐπὶ τὰς ταφὰς καὶ ἐκφορὰς τῶν τελευτησάντων εἴων τοὺς προσήκοντας παραγενέσθαι. οὐχ ὑφ' ὑμῖν αὐτοῖς ἕξετε τοὺς πολιτευομένους; οὐ ταπεινώσαντες ἀποπέμψετε τοὺς νῦν ἐπηρμένους; οὐ μεμνήσεσθ', ὅτι οὐδεὶς πώποτε ἐπέθετο πρότερον

1 πονηρ. ἅμα καὶ τολμ. B. γε W, γὰρ C. 2 οὕτω *om.* A[h]. 3 κατέλυσαν A[h]. γὰρ] μὲν n. 5 δὲ αὐτῶν καὶ W, δὲ αὐτῶν καὶ αὐτοὶ A[h], δὲ καὶ αὐτοὶ B. 7 καὶ *om.* An. 9 εἴων] εἴρων l, εἶργον h. παραγενέσθαι an, παραγίγνεσθαι x. 10 ὑφ' *om.* a. εἴξετε e. 12 μεμνήσεσθ' Cob., μεμνῆσθ' C. πρότερον ἐπέθ. n.

ῥᾳδίως οὕτω] Lys. 25, 31: ὅμως οἴονται χρῆναι οὕτω ῥᾳδίως ὃν ἂν βούλωνται κακῶς ποιεῖν, cf. ibid. Frohberger.

ἔπειτα] Cf. 201, Frohberg. Lys. vol. II 174.

κατεκήλησαν] Omnium primum illud certum est, falsam esse vulgatam scripturam κατέλυσαν. Nam si istud extremum et ultimum hoc enuntiato Aeschines pronuntiasset, ad alteram sententiam, qua idem prorsus contineretur, non potuit transire per ἔπειτα. At enim haec particula refertur ad ἔχαιρε γὰρ κολακευόμενος. Quasi vero hac ratione, quae vera est, duorum illorum verborum (κατέλυσαν — κατέλυσαν) convenientia et consecutio naturalis efficiatur! Accedit quod orator descripturus est, quid rhetores illi pestiferi, anteaquam rempublicam everterint, cum multitudine fecerint. Nimirum tam blandi erant natura, ut populum plane sibi devincirent. Hic autem adulationibus aures libenter praebebat. Postremo ista adulatio sublatae reipublicae consecutionem attulit. Illud autem κατεκήλησαν significare videtur = adulatione sibi devinxerunt vel constrinxerunt populum. Orellius maluerat κατέκλυσαν. Cf. autem Aristoph. Eq. 1115: εὐπαράγωγος εἶ (i. e. ὦ Δῆμε) θωπευόμενός τε χαίρεις κἀξαπατώμενος.

§ 235. ἀκρίτους] = indemnatos. Non ex legibus iudiciorum potestatem dabant. Cf. Frohberg. Lys. XII 17.

τὰς αἰτίας ἀκοῦσαι] Optime Schol.: πρὶν ἀκοῦσαι οὐ τοὺς τριάκοντα, ἀλλὰ τοὺς ἀποθνήσκοντας. τοῦτ' ἔστιν· οὐδὲ ᾔδεσαν, τί ἀπέθνησκον. Cf. Lys. XII 17: Πολεμάρχῳ δὲ παρήγγειλαν οἱ τριάκοντα πίνειν κώνειον, πρὶν τὴν αἰτίαν εἰπεῖν δι' ἥντινα ἔμελλεν ἀποθανεῖσθαι. XIX 7. Madv. Synt. § 167.

οὐχ ὑφ' ὑμῖν κτλ.] Exspectaveris consecutionis notitiam particula aliqua expressam. Sed nescio an asyndeton dicendi vim augeat.

μεμνήσεσθ'] Recte futurum restituit Cobet N. L. 245. Nec enim illud admonet orator iudices, quod in praesenti praestari videat, sed quod tandem aliquando fieri velit.

*τῇ τοῦ δήμου καταλύσει, πρὶν μεῖζον τῶν δικαστηρίων ἰσχῦσαι;*

*Ἡδέως δ' ἂν ἔγωγε, ὦ ἄνδρες Ἀθηναῖοι, ἐναντίον* 236 *ὑμῶν ἀναλογισαίμην πρὸς τὸν γράψαντα τὸ ψήφισμα, διὰ ποίας εὐεργεσίας ἀξιοῖ Δημοσθένην στεφανοῦσθαι. εἰ μὲν γὰρ λέξεις, ὅθεν τὴν ἀρχὴν τοῦ ψηφίσματος ἐποιήσω, ὅτι τὰς τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτάφρευσε, θαυμάζω σου. τοῦ γὰρ ταῦτ' ἐξειργάσθαι καλῶς τὸ γεγενῆσθαι τούτων αἴτιον μείζω κατηγορίαν ἔχει· οὐ γὰρ περιχαρακώσαντα χρὴ τὰ τείχη οὐδὲ τὰς ταφὰς ἀνελόντα τὸν ὀρθῶς πεπολιτευμένον δωρεὰς αἰτεῖν, ἀλλ' ἀγαθοῦ τινος αἴτιον γεγενημένον τῇ πόλει. εἰ δὲ ἥξεις ἐπὶ τὸ δεύτερον* 237 *μέρος τοῦ ψηφίσματος, ἐν ᾧ τετόλμηκας γράφειν, ὡς ἔστιν ἀνὴρ ἀγαθὸς καὶ διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ τῷ Ἀθηναίων, ἀφελὼν τὴν ἀλαζονείαν καὶ τὸν κόμπον τοῦ ψηφίσματος ἅψαι τῶν ἔργων, ἐπίδειξον ἡμῖν ὅ τι λέγεις. τὰς μὲν γὰρ περὶ τοὺς Ἀμφισ-*

1 *τῇ τοῦ δήμου*] *δήμου* A. *πρὶν* Cob., *πρὶν ἂν* C. *μείζω* Be. 2 *ἰσχῦσαι* Cob., *ἰσχύσειν* l, *ἰσχύσοι* h, *ἰσχύσει* (η) n. *ἰσχύσῃ* x. 4 *ἀναλογισαίμην* $A^h$, *ἀναλ. ἐναντίον ὑμῶν* n, *ὁμολογησαίμην* agm. 5 *στεφανοῦσθαι* W, *στεφανωθῆναι* $A^h$, *στεφανῶσαι* B. 6 *λέγεις* B. *ἐποίησας* e. 8 *ἐξειργάσθαι* k, *ἐξεργάσασθαι* elh, *ἐξεργασθῆναι* B. 10 *χρὴ*] *δεῖ* a. *τὰς ταφὰς* W, *τὰς τ. δημοσίας* $A^h$, *τὰς δημ. ταφὰς* B. *ἐνελόντα* m. 12 *γεγενημένου* omisso *αἴτιον* elh. 15 *τῷ ἀθ.* n, *τῶν ἀθ.* x. 17 *γὰρ* a, *om.* x.

§ 236—240: Tertia parte epilogi denuo orator reum interrogat, cur Demosthenem exornandum putet. Hac ratione viam sibi aperit non modo ad cetera Demosthenis in republica studia detrahenda, sed ut Thebanorum societatem temporum magis opportunitate quam Demosthenis virtute factam esse denuo arguat.

§ 236. *λέξεις*] Futurum tempus necessarium est, non modo quia deinceps sequitur *εἰ δ' ἥξεις*, sed multo magis, quod inter rogationem latam et futuram orationem Ctesiphontis distinguitur. Quare futilis est illa Bremii interpretatio, qua praesens tempus commendari posse putabat: n a m s i e t i a m n u m d i c i s.

*τούτων*] Pluralis: huius et similium operum ac negotiorum.

*τὰς ταφὰς ἀνελόντα*] Themistoclis gloriam Demosthenes captasse videtur, cf. Thuc. I 90. Lycurg. Leocr. 44. Vituperatio autem Aeschinis non iniusta, cf. Cic. Leg. II 64: de sepulchris autem nihil est apud Solonem amplius quam „ne quis ea deleat neve alienum inferat", poenaque est „si quis bustum aut monimentum", inquit, „aut columnam violarit deiecerit fregerit."

§ 237. *ἅψαι — ἐπίδειξον*] Asyndeton oratorem quasi instantem et flagitantem describit. Atque sententiarum ea est ratio, ut altera actio alteram consequatur, veluti causam eventus.

σέας καὶ τοὺς Εὐβοέας δωροδοκίας παραλείπω· ὅταν δὲ τῆς πρὸς Θηβαίους συμμαχίας τὰς αἰτίας ἀνατιθῇς Δημοσθένει, τοὺς μὲν ἀγνοοῦντας ἐξαπατᾷς, τοὺς δ' εἰδότας καὶ αἰσθανομένους ὑβρίζεις. ἀφελὼν γὰρ τὸν καιρὸν καὶ τὴν δόξαν τὴν τούτων, δι' ἣν ἐγένετο ἡ συμμαχία, λανθάνειν οἴει ἡμᾶς τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει
238 περιτιθείς. ἡλίκον δ' ἐστὶ τὸ ἀλαζόνευμα τοῦτο, ἐγὼ πειράσομαι μεγάλῳ σημείῳ διδάξαι. ὁ γὰρ τῶν Περσῶν βασιλεὺς οὐ πολλῷ χρόνῳ πρὸ τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν κατέπεμψε τῷ δήμῳ καὶ μάλα ὑβριστικὴν καὶ βάρβαρον ἐπιστολήν, ἐν ᾗ τά τε δὴ ἄλλα καὶ μάλ' ἀπαιδεύτως διελέχθη, καὶ ἐπὶ τελευτῆς ἐνέγραψεν, „ἐγὼ“ φησὶν „ὑμῖν χρυσίον οὐ δώσω· μή με αἰτεῖτε· οὐ
239 γὰρ λήψεσθε.“ οὗτος τοίνυν ὁ αὐτὸς ἐγκαταληφθεὶς ὑπὸ τῶν νυνὶ παρόντων αὐτῷ κινδύνων, οὐκ αἰτούντων Ἀθηναίων, αὐτὸς ἑκὼν κατέπεμψε τριακόσια τάλαντα τῷ δήμῳ, ἃ σωφρονῶν οὐκ ἐδέξατο. ὁ δὲ κομίζων ἦν τὸ χρυσίον καιρὸς καὶ φόβος καὶ χρεία συμμάχων. τὸ δὲ αὐτὸ τοῦτο καὶ τὴν Θηβαίων συμμαχίαν ἐξειργάσατο. σὺ δὲ τὸ μὲν τῶν Θηβαίων ὄνομα καὶ τὸ τῆς δυστυχεστάτης συμμαχίας ἐνοχλεῖς ἀεὶ λέγων, τὰ δ' ἑβδομήκοντα τάλαντα ὑποσιωπᾷς ἃ προλαβὼν τοῦ βασιλικοῦ χρυσίου
240 ἀπεστέρησας. οὐ δι' ἔνδειαν χρημάτων ἕνεκα μὲν πέντε ταλάντων οἱ ξένοι τὴν ἄκραν οὐ παρέδοσαν; διὰ δέκα δὲ

4 *αἰσθομένους* A$^{h}$. 6 *οἴει λανθ.* B. 7 *δ'* *om.* l. 9 *πολλῷ πρότερον χρόνῳ* B. 11 *τάδε* m. 12 *διειλέχθη* gmn, *διηλέχθη* h. *ἀνέγραψεν* n, *add.* C: *ἐν τῇ ἐπιστολῇ*, *del.* Ham. 13 *μή με*] *μήτε* lh. 14 *οὗτος*] *οὔτε* n. *τοίνυν* A$^{h}$, *μέντοι* B. *ἐγκαταλειφθεὶς* gm. 16 *τριάκοντα* A$^{h}$gm, *πεντήκοντα* a. 17 *σωφρονῶν*] *add.* A$^{h}$: *ὁ δῆμος*. *οὖν* n. 19 *τὴν συμμαχ. Θηβαίων* A$^{h}$. *ἐξειργάζετο* B. 21 *ἐνώχλεις* k$^{1}$. 23 *ἀπεστέρηκας* elh. *μὲν* *om.* eh, *post* *ἔνδειαν* *ponit* A. *ἕνεκα γὰρ* h, i. e. *ἕνεκά γε*. 24 *ξένοι*] *add.* A$^{h}$: *Θηβαῖοι*, B: *τοῖς Θηβαίοις*. *διὰ δέκα δὲ* Franke, *διὰ δὲ ἐννέα* A$^{h}$, *διὰ ἐννέα δὲ* B.

*τούτων*] Atheniensium. Atque ex tanta videlicet civitate Demosthenes legatus maxima utebatur auctoritate.

§ 238. *χρυσίον οὐ δώσω*] Schol.: *Ἀθηναῖοι γὰρ αὐτὸν ᾔτησαν χρυσίον ἐπὶ Φίλιππον μετὰ τὴν τῆς εἰρήνης κατάλυσιν πρεσβείαν πέμψαντες.*

§ 239. *τοίνυν*] Melius quam *μέντοι.* Efficit enim haec sententia totius argumentationis minorem propositionem admixta conclusione.

*ἑβδομήκοντα τάλαντα*] Cf. ad § 156. Schaefer III 106, 2.

§ 240. *οἱ ξένοι*] i. e. Macedones, cf. A. Schaefer III 110.

*δέκα*] Pluribus hanc causam

τάλαντα ἀργυρίου πάντων Ἀρκάδων ἐξεληλυθότων καὶ
τῶν ἡγεμόνων ἑτοίμων ὄντων βοηθεῖν ἡ πρᾶξις οὐ γεγέ-
νηται; σὺ δὲ πλουτεῖς καὶ ταῖς ἡδοναῖς ταῖς σαυτοῦ χο-
ρηγεῖς. καὶ τὸ κεφάλαιον, τὸ μὲν βασιλικὸν χρυσίον παρὰ
τούτῳ, οἱ δὲ κίνδυνοι παρ' ὑμῖν.

Ἄξιον δ' ἐστὶ καὶ τὴν ἀπαιδευσίαν αὐτῶν θεωρῆσαι. 241
εἰ γὰρ τολμήσει Κτησιφῶν μὲν Δημοσθένην παρακαλεῖν,
οὗτος δ' ἀναβὰς ἑαυτὸν ἐγκωμιάσει, βαρύτερον τῶν ἔρ-
γων ὧν πεπόνθαμεν τὸ ἀκρόαμα γίγνεται. ὅπου γὰρ τοὺς
μὲν ὄντως ἄνδρας ἀγαθούς, οἷς πολλὰ καὶ καλὰ σύνισμεν
ἔργα, τοὺς καθ' ἑαυτῶν ἐπαίνους ἐὰν λέγωσιν, οὐ φέ-
ρομεν· ὅταν δὲ ἄνθρωπος αἰσχύνη τῆς πόλεως γεγονὼς
ἑαυτὸν ἐγκωμιάζῃ, τίς ἂν τὰ τοιαῦτα καρτερήσειεν
ἀκούων;

Ἀπὸ μὲν οὖν τῆς ἀναισχύντου πραγματείας, ἐὰν σω- 242
φρονῇς, ἀποστήσει, ποιήσει δέ, ὦ Κτησιφῶν, διὰ σαυτοῦ
τὴν ἀπολογίαν. οὐ γὰρ δή που τοῦτό γε σκήψει, ὡς οὐ
δυνατὸς εἶ λέγειν. καὶ γὰρ ἂν ἄτοπόν σοι συμβαίνοι, εἰ
πρῴην μέν ποθ' ὑπέμεινας πρεσβευτὴς ὡς Κλεοπάτραν

5 *ἡμῖν* ekh. 6 *αὐτῶν om.* l. 7 *τολμήσεις* B. *δημοσθένη* aen, *δημοσθένει* l. *παρακαλεῖν*] *add.* C: *λέξοντα εἰς ὑμᾶς*, *del.* W. 8 *αὐτὸς* g. *ἐγκωμιάζει* lh. 9 *πεπόνθαμεν* A[h], *πεπόνθατε* (δε) B. *γενήσεται* n². *γὰρ δὴ* agm, *ex γὰρ natum.* 10 *ὄντας* gn. 11 *ἐὰν ante τοὺς ponit* B. 14 *ἀκούων om.* klhgm. 16 *ποιήσει* Bekk., *ποίησαι* C. 17 *οὐ δυνατὸν* gl, *ἀδύνατος* h. 18 *συμβαίνει* omisso *ἂν* agm. 19 *ὑπομείνας* lh, an

disceptavit Dinarch. I 20. Cf. ad § 164.

§ 241: Quarta pars epilogorum: Demosthenem non decere Ctesiphontis causa suscepta se suaque summis laudibus efferre.

*ἀπαιδευσίαν*] videlicet non Ctesipontis sed eius, de quo adhuc disputaverat, Demosthenis opinor.

*πεπόνθαμεν*] Stabilitur haec scriptura ex Bekk. Anecd. I 372. „Vividior est oratio, si Aeschines se cum auditoribus coniungit ratione eorum quae passi fuerant.“ Bremi.

*ὅταν δ' ἄνθρωπος*] Paulum deflexit Aeschines inchoatam orationis structuram. Desinit enim perinde quasi in mente haberet: *ὅταν μὲν γὰρ οἱ ὄντως ἄνδρες ἀγαθοὶ καθ' ἑαυτῶν ἐπαίνους λέγωσιν, οὐ φέρωμεν· ὅταν δὲ κτλ.* Cf. Naegelsbach Aesch. Ag. p. 124.

§ 242. Quinta pars epilogi: Quare enixe orat Ctesiphontem, ut ipse causam dicat, cum praesertim facundia sit haud exigua.

*ποιήσει δέ*] Futurum restituerunt Bekker et Cobet (Mnemos. III 320) propter adpositam condicionem *ἐὰν σωφρονῇς*. Atque hic etiam emendavit I 191: *ἐξαιρεῖτ' οὖν, ὦ Ἀθηναῖοι, τὰς τοιαύτας φύσεις καὶ τὰ τῶν νέων (νεωτέρων?) ζηλώματα ἐπ' ἀρετὴν προτρέψεσθε*, ubi libri cuncti: *προτρέψασθε*.

*Κλεοπάτραν*] Filia erat Phi-

τὴν Φιλίππου θυγατέρα χειροτονεῖσθαι συναχθεσόμενος ἐπὶ τῇ τοῦ Μολοττῶν βασιλέως Ἀλεξάνδρου τελευτῇ, νυνὶ δὲ οὐ φήσεις δύνασθαι. ἔπειτα γυναῖκα μὲν ἀλλοτρίαν πενθοῦσαν δύνασαι παραμυθεῖσθαι, γράψας δὲ μι-
243 σθοῦ ψήφισμα οὐκ ἀπολογήσει; ἢ τοιοῦτός ἐστιν ὃν γέγραφας στεφανοῦσθαι, οἷος μὴ γιγνώσκεσθαι ὑπὸ τῶν εὖ πεπονθότων, ἂν μή τις συνείπῃ; ἐπερώτησον δὴ τοὺς δικαστὰς εἰ ἐγίγνωσκον Χαβρίαν καὶ Ἰφικράτην καὶ Τιμόθεον, καὶ πυθοῦ διὰ τί τὰς δωρεὰς αὐτοῖς ἔδοσαν καὶ τὰς εἰκόνας ἔστησαν. ἅπαντες γὰρ ἅμα ἀποκρινοῦνται ὅτι Χαβρίᾳ μὲν διὰ τὴν περὶ Νάξον ναυμαχίαν, Ἰφικρα-

ὑπομείνειας? 1 συναχθεσόμενος Cob., συναχθησόμ. g, συναχθεσθησόμενος x. 2 τοῦ *om.* n. 3 νῦν A^h. δύνασθαι λέγειν A^hg. 4 δύνασθαι e. 7 ἐὰν e. σοι συνείπῃ B (συνείποι mn). δὲ lh. 8 ἰφικράτου l. 9 πιθοῦ l, πύθου gm, cf. Herod. II 818: οἱ Ἀθηναῖοι περισπῶσιν οἷον τυποῦ καὶ λαβοῦ καὶ νυγοῦ καὶ πυθοῦ. πυθοῦ] *add.* C: παρ' αὐτῶν (αὐτὸν l), *del.* W. αὐτοῖς *om.* l. 10 γὰρ *om.* l. ἅμα W, ἅμα σοι B, σοι ἅμα ek, *om.* lh. 11 ἰφικράτην e, i. e. ἰφικράτῃ, ἰφικράτης l.

lippi ex Olympiade, quam Philippus (Ol. 111, 1) Alexandro Epirotarum regi, fratri Olympiadis, nuptum dedit, cf. Diodor. Sic. XVI 91. Alexander a Tarentinis auxilia adversus Bruttios deprecantibus sollicitatus, cum Italiam facile se sibi subiecturum sperans cupide eo traiecisset, cum omnibus suis copiis ibi interemptus est, anno a. Chr. 330. Cf. A. Schaefer III 181 sq.

συναχθεσόμενος] Hanc formam ex codice g, ubi est συναχθησόμενος, restituit L. Dindorf in Thes. Idemque emendavit Andoc. III 21: καὶ γὰρ εἴ τις ὑμῶν ἀχθέσεται παραιτοῦμαι (v. ἀχθεσθήσεται). Accuratius hanc rem exposuit Cobet Mnemos. III 312.

δύνασθαι] Habet hoc verbum saepe numero etiam vim quandam praegnantem, addito interdum dativo ut II 95: γενομένης ἐκκλησίας ἤδη παρὼν καὶ δυνάμενος τῷ σώματι. Cf. Steph. Thes. 1703. Quare non video cur non hoc quoque loco δύνασθαι significare possit validum esse, parem esse.

§ 243: Sexta epilogorum pars: In honorum conmendatione nihil prorsus opus est orationis facultate, nam qui honore tanto dignus est, eius laudes ac virtutes omnes memoria tenent.

οἷος μὴ γιγνώσκεσθαι] Krueger Gr. gr. 55, 3, 5.

συνείπῃ] Falsum est quod grammatici veteres addiderunt σοί. Immo Δημοσθένει vel αὐτῷ animo cogitandum est. Virtus enim quae corona digna videatur omnibus nota esse debet. Quare ne Ctesiphontis quidem oratione ad tantam virtutem hominibus conmendandam opus est.

πυθοῦ] Molestum fuit pronomen additum παρ' αὐτῶν, cum subsequeretur αὐτοῖς. Nam, ut recte ait Cobetus, scioli passim interpolarunt pronomen αὐτοῦ αὐτῷ κτλ., ubi eleganter fuerat ab Atticis praetermissum, cf. Mnem. XI 126. Structura ipsa Attica est, cf. Isocr. 5, 155: παρ' ὑμῶν τῶν ἀκουόντων πυνθάνεσθαι δίκαιόν ἐστιν. XII 155: παρὰ πολλῶν ἔσται πυθέσθαι τοῖς εἰδέναι βουλομένοις.

τει δὲ ὅτι μόραν Λακεδαιμονίων διέφθειρε, Τιμοθέῳ δὲ διὰ τὸν περίπλουν τὸν εἰς Κέρκυραν, καὶ ἄλλοις, ὧν ἑκάστῳ πολλὰ καὶ καλὰ κατὰ πόλεμον ἔργα πέπρακται· Δημοσθένει δ' αὖ, ὅτι δωροδόκος, ὅτι δειλὸς, ὅτι τὴν 244 τάξιν ἔλιπε. καὶ πότερον τοῦτον τιμήσετε, ἢ ὑμᾶς αὐτοὺς ἀτιμάσετε καὶ τοὺς ὑπὲρ ὑμῶν ἐν τῇ μάχῃ τελευτήσαντας; οὓς νομίσαθ' ὁρᾶν σχετλιάζοντας εἰ οὗτος στεφανωθήσεται. καὶ γὰρ ἂν εἴη δεινὸν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὰ μὲν ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον, τὰ ἄφωνα καὶ ἀγνώμονα, ἐάν τῳ ἐμπεσόντα ἀποκτείνῃ,

1 μόραν H. Wolf, μοίραν C. διέφθειρε W, ἀπέκτεινε C. 3 τὸν πόλεμον n. 4 Δημοσθένει δ' αὖ W, δημοσθένει δ' ἀντεροῦ διὰ τί δώσετε $A^h$, δημοσθένει δ' ἐάν τις ἐρωτᾷ διὰ τί οὐ δώσετε B. 6 ἀτιμάσετε n, ἀτιμωρήτους ἐάσετε $A^h$, ἀτιμώσετε agm. 7 νομίσαθ' $A^h$, νομίζεθ' B, cf. Andoc. I 148. 9 τὸν ἄφωνον e. 10 ἀγνώμονα n, τὰ ἀγν. agmk, τὸν ἀγν. el, τὸν ἄκμωνα h. ἐάν τις n.

διέφθειρε] ἀπέκτεινε prorsus ab hac re alienum esse vidit Bakius 333. Proprie dicitur aut κατέκοψε, cf. Dem. XIII 22. XXIII 198, aut ἀνεῖλε, ut Din. I 75. Ego διέφθειρε praeferendum duxi, non modo ut emendatio propius ad vulgatam scripturam accederet, sed etiam ut ars inperatoria et prudentia Chabriae magis elucesceret. Praepositionum ἀπὸ et διὰ permutationes frequentes fuerunt.

§ 244—247: Septima epilogorum pars: Demosthenes contra insignis est nequitia et ignavia. In hunc si honores Athenienses conferent, semetipsos et qui pro patria mortem pugnando occubuerunt dehonestabunt. Nam proditione ille militem pessum dedit. Quare videant ne mortuos milites laedant, ne vivos maximeque pueros ad contumaciam et inoboedientiam erudiant, denique ne rempublicam in malam famam adducant.

§ 244. Δημοσθένει δ' αὖ] Optimi libri ἀντεροῦ διὰ τί δώσετε, alii alia. Sed dictum esse saltem oportuit διὰ τί δώσουσιν. Interpolatio igitur manifesta est.

ἀτιμάσετε] Ἀτιμοῦν nusquam non significat reum in iudicio condemnatum infamia notare vel caput alicuius deminuere, unde ἀτιμία, ἄτιμοι; at ἀτιμάζειν est: eum qui honore aut reverentia dignus sit contumeliose habere. Librarii autem haec duo verba persaepe confundere consueverant. Cf. Cobet N. L. 749 sqq. Vera lectio non modo servata est in uno codice alterius generis sed etiam vestigium eius in A mansit: nam ἀτιμωρήτους ἐά-
μω
σετε natum est ex ἀτιμάσετε.

νομίσασθ' ὁρᾶν] Similiter Andoc. I 148.

σχετλιάζοντας] Cf. 258.

εἰ τὰ μὲν ξύλα κτλ.] De structura enuntiatorum v. Weber ad Dem. Aristocr. p. 280. De re ipsa Paus. I 28, 10. VI 11, 6. Dem. XXIII 76. Pollux VIII 120. Plat. Legg. 874 a. Schömann Antiq. 295.

τὰ ἄφωνα καὶ ἀγνώμονα] Dem. l. l.: εἰ τοίνυν τῶν ἀψύχων καὶ μὴ μετεχόντων τοῦ φρονεῖν οὐδὲν ἐσθ' ὅσιον, τοιαύτην ἔχον αἰτίαν, ἐὰν ἄκριτον κτλ. Atque similiter latine dicitur: muta et bruta animalia de eis quae et orationis et rationis expertia sunt.

ὑπερορίζομεν, καὶ ἐάν τις αὑτὸν διαχρήσηται, τὴν χεῖρα
245 τὴν τοῦτο πράξασαν χωρὶς τοῦ σώματος θάπτομεν, Δημοσθένην δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν γράψαντα μὲν τὴν πανυστάτην ἔξοδον, προδόντα δὲ τοὺς στρατιώτας, τοῦτον ὑμεῖς τιμήσετε. οὐκοῦν ὑβρίζονται μὲν οἱ τελευτήσαντες, ἀθυμότεροι δὲ οἱ ζῶντες γίγνονται ὁρῶντες τῆς ἀρετῆς ἆθλον τὸν θάνατον κείμενον, τὴν δὲ μνήμην ἐπιλείπουσαν. καὶ τὸ μέγιστον, ἐπερωτῶσιν ὑμᾶς οἱ νεώτεροι, πρὸς ὁποῖον χρὴ παράδειγμα αὑτοὺς τὸν βίον
246 ποιεῖσθαι. εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐχ αἱ παλαῖστραι οὐδὲ τὰ διδασκαλεῖα οὐδ' ἡ μουσικὴ μόνον παιδεύει τοὺς νέους, ἀλλὰ πολὺ μᾶλλον τὰ δημόσια. κη-

1 καὶ *om.* l. ἑαυτὸν e. διαχρήσῃ klh, διαχειρίσηται agme. 2 δημοσθένει l. 8 καὶ τὸ $A^h$, τὸ δὲ B. ἐπερ. $A^h$, ἐὰν ἐπερ. B. 9 ὁποῖον $A^h$, ποῖον B. παράδ. χρὴ n. 10 ποιεῖσθαι] *add.* B: τί κρινεῖτε, *om.* $A^h$. ὦ ἄ. Ἀ. *add.* $A^h$. ἡ παλαίστρα $A^h$. 11 μόνη h. 12 νέους $A^h$, νεωτέρους B. τὰ δημόσια W, τὰ δημ. δίκαια $A^h$, τὰ δημ. κηρύγματα B.

τὴν χεῖρα] Ioseph. bell. Iud. III 8, 5: τοὺς γοῦν ἀνελόντας ἑαυτοὺς παρὰ μὲν ἡμῖν μέχρις ἡλίου δύσεως ἀτάφους ἐκρίπτειν ἔκριναν, καίτοι καὶ πολεμίους θάπτειν θεμιτὸν ἡγούμενοι· παρ' ἑτέροις δὲ καὶ τὰς δεξιὰς τῶν τοιούτων νεκρῶν ἀποκόπτειν ἐκέλευσαν, αἷς ἐστρατεύσαντο καθ' ἑαυτῶν, ἡγούμενοι, καθάπερ τὸ σῶμα τῆς ψυχῆς ἀλλότριον, οὕτω καὶ τὴν χεῖρα τοῦ σώματος. Aristot. Nic. III 7: τὸ δ' ἀποθνήσκειν φεύγοντα πενίαν ἢ ἔρωτα ἢ ἄλλο τι λυπηρὸν οὐκ ἀνδρείου ἀλλὰ μᾶλλον δειλοῦ. μαλακία γὰρ τὸ φεύγειν τὰ ἐπίπονα. Bremi.

§ 245. πανυστάτην] Certe non postremam sed fatalem illam cladem Chaeronensem intellegit. Huius explicationis repperi vestigium in schol. Laur.: ἢ μεθ' ἣν οὐκ ἐπεξήλθομεν διὰ τὸ πάνυ δι' αὐτὴν ἀσθενῆσαι ἢ τὴν ἐσχάτην. Nec tamen hoc adiectivum suspicione caret. In Atticis quidem prosae orationis auctoribus nullum occurrere exemplum videtur. An ἀτυχεστάτην?

προδόντα] scilicet temeritate consiliorum.

τιμήσετε] Futurum in apodosi recte ponitur cum in protasi aut ἐὰν est aut εἰ cum futuro. Cf. Cobet Mnem. IX 444 ad Isae. I 38. 43. 51. 40.

ἐπιλείπουσαν] Nam si militum fortissimorum memoria in animis iudicum vigeret, auctorem illius cladis et suasorem belli non corona nobilitarent.

ἐπερωτῶσιν ὑμᾶς] Adolescentes qui circumsteterant tamquam in ipso iudicio dicuntur iudices consulere, quae exempla ad imitandum se sibi proponere velint.

§ 246. εὖ γὰρ ἴστε κτλ.] Lyc. Leocr. 10: εὖ γὰρ ἴστε, ὦ ἄνδρες, ὅτι οὐ μόνον τοῦτον νῦν κολάσετε κατεψηφισμένοι, ἀλλὰ καὶ τοὺς νεωτέρους ἅπαντας ἐπ' ἀρετὴν προτρέψετε. δύο γάρ ἐστι τὰ παιδεύοντα τοὺς νέους, ἥ τε τῶν ἀδικούντων τιμωρία καὶ ἡ τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς διδομένη δωρεά. Haec causa paulo ante Ctesiphontem in iudicio disceptata fuerat, cf. 252.

τὰ δημόσια] = publicae actiones, in quibus etiam iudicia habentur, cf. κηρύττεται — δίκην τις δέδωκε κτλ. Interpolatores sententiam modo sub-

ρύττεταί τις ἐν τῷ θεάτρῳ ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα ἄνθρωπος ἀσχημονῶν τῷ βίῳ· ὁ δέ γε νεώτερος ταῦτ' ἰδὼν διέφθαρται. δίκην τις δέδωκε πονηρὸς καὶ πορνοβοσκὸς ὥσπερ Κτησιφῶν· οἱ δέ γε ἄλλοι πεπαίδευνται. τἀναντία τις ψηφισάμενος τῶν καλῶν καὶ δικαίων ἐπανελθὼν οἴκαδε παιδεύει τὸν υἱόν· ὁ δέ γε εἰκότως οὐ πείθεται, ἀλλὰ τὸ νουθετεῖν ἐνοχλεῖν ἤδη δικαίως ὀνομάζεται. ὡς οὖν μὴ μόνον κρίνοντες ἀλλὰ καὶ θεωροῦντες, 247
... οὕτω τὴν ψῆφον φέρετε, εἰς ἀπολογισμὸν τοῖς νῦν μὲν οὐ παροῦσι τῶν πολιτῶν, ἐπερησομένοις δὲ ὑμᾶς τί ἐδικάζετε. εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι τοιαύτη δόξει ἡ πόλις εἶναι, ὁποῖός τις ἂν ᾖ ὁ κηρυττόμενος· ἔστι δὲ ὄνειδος μὴ τοῖς προγόνοις ὑμᾶς ἀλλὰ τῇ Δημο-

1 ἕνεκα] *add.* B: καὶ ἀνδραγαθίας καὶ εὐνοίας, *om.* A[h]. 2 ἀσχημονῶν Aag, εὐσχημονῶν mh, ἀσχήμων ἐν n, ἀσχήμων ὢν M. βίῳ] *add.* B: καὶ βδελυρὸς, *om.* A[h]. ὁ δέ γε] ὁ δὲ e, οὐδὲν n, οὐδεὶς h. 3 διέφθαρται W, διεφθάρη C. 7 νουθετεῖν An, παιδεύειν agm. ἐνοχλεῖν W, ἐνοχλ. ἐνταῦθα A[h], ἐνταῦθα ἐνοχλ. B. καὶ δικ. ag. 8 θεωροῦντες A[h], θεωρούμενοι B, excidisse pauca animadverterunt Tur. 9 ἀπολογίαν agm. νῦν μὲν οὖν a, μὲν νῦν n. 10 ἡμᾶς l. ἐκδικάζεται a. 12 ἡ πόλις δόξει A[h]. τις *om* g. ᾖ] εἴη ekh. 13 ἡμᾶς Bkl (ἡμῶν g, *om.* n), ὑμῶν h.

sequentem respexerunt, sicuti nuper Bremius.

ἀσχημονῶν] Cf. II 151: καὶ τίς αὐτὸν εἶδε πώποτε ἀσχημονήσαντα ἢ μεθ' ἡμέραν, ὡς σὺ φῄς, ἐν τῇ πομπῇ τῇ τῶν Διονυσίων, ἢ νύκτωρ;

διέφθαρται] Libri διεφθάρη, sed aoristi nullus est locus propter praesens tempus κηρύττεται. Perfectum autem consecutionis celeritatem ac necessitatem optime describit. Accedit quod sequitur in eodem genere πεπαίδευνται.

ἐπανελθὼν οἴκαδε] Cf. ad § 212.

§ 247. θεωροῦντες] Aeschines activam formam usurpare amavit, cf. II 80. I 93. III 163. 251. 241. 168. 160. I 65. At passiva desideratur sententia: in quos hominum oculi atque exspectationes coniecta sunt. Quid autem contrariorum ratio? Haec certe expostulat duplicem iudicum actionem: non modo sententias ferunt sed multum etiam ad educationem iuventutis conferunt. Hanc sententiae rationem efflagitat etiam particula οὖν. Emendatio autem nulla temptari potest propterea quod sententiarum nexus haud parva profecto lacuna turbatus est.

ἡ πόλις δόξει] Quia dignitas reipublicae in hac causa vertitur, ideo reliquos etiam cives qui non adsint rationes postulaturos probabile est.

§ 248—254: Octava pars epilogorum: Suspiciones moventur contra eos qui populares haberi volunt. Contra eos maxima commendatur in tribuendis honoribus severitas, cum praesertim homines huiusmodi sine pudore aut metu iam cum hostibus conspirent et reip. administratio plebis manibus extorta in paucorum potestate sit: privati homines innoxii necantur, Demosthenes omnium calamitatum auctor ho-

248 σθένους ἀνανδρίᾳ προσεικασθῆναι. πῶς οὖν ἄν τις τὴν τοιαύτην αἰσχύνην ἐκφύγοι; ἐὰν τοὺς προκαταλαμβάνοντας τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων, ἀπίστους ὄντας τοῖς ἤθεσι, φυλάξησθε. ἡ γὰρ εὔνοια καὶ τὸ τῆς δημοκρατίας ὄνομα κεῖται μὲν ἐν μέσῳ, φθάνουσι δ' ἐπ' αὐτὰ καταφεύγοντες τῷ λόγῳ ὡς ἐπὶ πολὺ οἱ τοῖς
249 ἔργοις πλεῖστον ἀπέχοντες. ὅταν οὖν λάβητε ῥήτορα στεφάνων καὶ κηρυγμάτων ἐπιθυμοῦντα, ἐπανάγειν αὐτὸν κελεύετε τὸν λόγον, ὥσπερ καὶ τὰς βεβαιώσεις τῶν κτημάτων ὁ νόμος κελεύει ποιεῖσθαι, εἰς βίον ἀξιόχρεων καὶ τρόπον σώφρονα. ὅτῳ δὲ ταῦτα μὴ μαρτυρεῖται, μὴ βεβαιοῦτε αὐτῷ τοὺς ἐπαίνους, καὶ τῆς δημοκρατίας ἐπι-
250 μελήθητε ἤδη διαφευγούσης ὑμᾶς. ἢ οὐ δεινόν, ὅτι τὸ

2 ἐκφεύγοι ek. 7 λαβόντες n. στεφάνων Benseler, ξενικῶν στεφάνων C. 8 κηρυγμ.] *add.* C: ἐν (*om.* A[h]) τοῖς Ἕλλησιν, *del.* W. 9 καὶ τῶν λόγων An. καὶ *om.* n. κηρυγμάτων n. 11 ὅτῳ] οὕτω lh[1]. μαρτυρεῖτε elh. 13 δεινὸν] *add.* A[h]: ὑμῖν εἶναι δοκεῖ, B: δοκεῖ ὑμῖν εἶναι (*om.* n), *del.* W. ὅτι A[h]n, εἰ agm.

nores sibi expostulat. Haec contumelia civitatem in contemptum et suspicionem ceterorum Graecorum adductura videtur.

§ 248. πῶς οὖν ἄν τις κτλ.] A propria causa ad conmunem reipublicae statum ascendit.

κοινά] = verba popularia, quibus studium plebis suum ac voluntatem ostendant. Schol.: οἷον τὸ λέγειν ὅτι φιλόπολίς εἰμι καὶ τὰ τοιαῦτα. Dem. 24, 156: εὗρε τοῦτο ὃ πεποίηκε, νόμῳ τοὺς νόμους καταλῦσαι, ἵνα τἀδικήματ' αὐτοῦ τὸ τῆς σωτηρίας ὀνομ' ἔχῃ· τὴν τοῦ ὀνόματος φιλανθρωπίαν, ὅτι ταύτην μάλιστα προσίεσθε, κατεῖδεν.

φθάνουσι κτλ.] Hanc vero sententiam nostra aetas saevissimis argumentis crudeliter conprobavit.

§ 249. στεφάνων] Etiamsi conmunis sit sententia, at Demosthenis tamen studium honoris oratio perstringit. Quare ineptum est librorum additamentum ξενικῶν, cum sociorum aut peregrinorum hic nulla fiat conmemoratio. Schol.: ὅτι ἐπὶ τῶν ξένων ἐν τῷ θεάτρῳ ἔμελλε στεφανοῦσθαι!

βεβαιώσεις] Pignora sunt quae in emendo vendendo dari solebant. Centesima enim pretii pars, si lis inter emptorem et venditorem oriretur, in fidem deponebatur. Haec summa dicebatur ἀξιόχρεως. Hinc iubetur orator, qui publice coronari velit, ad vitam fide dignam provocare, venditoris instar, qui fidem suam praestet. Ex eodem genere est μὴ βεβαιοῦτε τοὺς ἐπαίνους = nolitis laudes confirmare. Bremi.

οὕτω] = temere, sine ullo pignore aut testimonio.

§ 250. δεινὸν ὅτι] Conmunis dicendi usus postulat εἰ. Quamquam nescio an ὅτι maiorem acerbitatem habeat, cum iniuria sic sine ullo dubio facta describatur, cf. Dem. 39, 38: παῦσαι δ' ἐμὲ συκοφαντῶν, ἀγάπα δ' ὅτι σοι πόλις οὐσία πατὴρ γέγονεν, quocum cf. Lys. XII 11: ὁ δ' ἀγαπήσειν με ἔφασκεν, εἰ τὸ σῶμα σώσω.

*μὲν βουλευτήριον καὶ ὁ δῆμος παρορᾶται, αἱ δ' ἐπιστο-
λαὶ καὶ αἱ πρεσβεῖαι ἀφικνοῦνται εἰς ἰδιωτικὰς οἰκίας, οὐ
παρὰ τῶν τυχόντων ἀνθρώπων ἀλλὰ παρὰ τῶν πρω-
τευόντων ἐν τῇ Ἀσίᾳ καὶ τῇ Εὐρώπῃ; καὶ ἐφ' οἷς ἐστιν
ἐκ τῶν νόμων ζημία θάνατος, ταῦτά τινες οὐκ ἐξαρνοῦν-
ται πράττειν ἀλλ' ὁμολογοῦσιν ἐν τῷ δήμῳ, καὶ τὰς
ἐπιστολὰς ἀλλήλοις παραναγιγνώσκουσιν, καὶ παρακε-
λεύονται οἱ μὲν βλέπειν εἰς τὰ ἑαυτῶν πρόσωπα ὡς φύ-
λακες τῆς δημοκρατίας, ἕτεροι δ' αἰτοῦσι δωρεὰς ὡς σω-
τῆρες τῆς πόλεως ὄντες. ὁ δὲ δῆμος ἐκ τῆς ἀθυμίας τῶν* 251
*συμβεβηκότων ὥσπερ παραγεγηρακὼς ἢ παρανοίας ἑαλω-
κὼς αὐτὸ μόνον τοὔνομα τῆς δημοκρατίας περιποιεῖται,
τῶν δ' ἔργων ἑτέροις παρακεχώρηκεν. ἔπειτ' ἀπέρχεσθε
ἐκ τῶν ἐκκλησιῶν οὐ βουλευσάμενοι, ἀλλ' ὥσπερ ἐκ τῶν
ἐράνων, τὰ περιόντα νειμάμενοι. ὅτι δ' οὐ ληρῶ, ἐκεῖ-* 252
*θεν τὸν λόγον θεωρήσατε. ἐγένετό τις, ἄχθομαι δὲ πολ-
λάκις μεμνημένος, ἀτυχία τῇ πόλει. ἐνταῦθ' ἀνὴρ ἰδιώ-*

2 *καὶ πρεσβ.* agm. *εἰς . . πρωτευόντων om.* n. 4 *καὶ ἐν τῇ* n. 5 *ἐκ*] *ἢ παρὰ* $A^h$. 7 *ἐπαναγ.* n. 8 *οἱ μὲν ὑμῖν* A, (*εἰς*) *οἱ μὲν ὑμᾶς* h, *ὑμῖν οἱ μὲν* B. *εἰς*] *καὶ* h, *καὶ* l. 11 *γεγηρακὼς* lh. 12 *περιπονεῖται* n. 15 *περιιόντα* k. 16 *μεμν. πολλ.* $A^h$. 17 *ἀτυχία τῇ πόλει* $A^h$ Madvig, *τὰς ἀτυχίας τῆς πόλεως* B. *ἰδιώτης ὃς* B.

*ἐν τῇ Ἀσίᾳ καὶ Εὐρώπῃ*] Veluti Demosthenes non modo cum satrapis et Memnone Persarum duce, sed etiam cum Agide Lacedaemoniorum rege coniuraverat, cf. Plut. Dem. 24: *κινουμένῳ δ' Ἄγιδι τῷ Σπαρτιάτῃ βραχέα (Δημ.) συνεκινήθη πάλιν, εἶτ' ἔπτηξε, τῶν μὲν Ἀθηναίων οὐ συνεξαναστάντων, τοῦ δ' Ἄγιδος πεσόντος καὶ τῶν Λακεδαιμονίων συντριβέντων.* Quantis vero periculis respublica undique circumveniebatur, si privatis civibus cum peregrinis consilia conferre et bella parare liceret! Hic quidem mihi libertatis interitus fore videtur.

*παρακελεύονται*] Schol.: *παρακ. ὡς φύλακες τῆς δημοκρατίας βλέπειν εἰς τὰ αὐτῶν πρόσωπα.* Fuerat igitur ne in scholiis quidem *ὑμῖν.*

§ 251. *παραγεγηρακὼς — ἑαλωκώς*] Si quidquam, hoc me adducit ut Aeschinem orationem aliter habuisse aliter scripsisse credam. Quid enim? Tantam iniuriam tantamque contumeliam adtulisse populo universo eum oratorem qui eodem momento magnam ab eo gratiam exspectaret? Facile vero cum victus abiisset iram et odium effundere poterat.

§ 252. *ἀνὴρ ἰδιώτης*] Sunt qui Autolycum indicari putent, qui ab Areopago morte damnatus est. De eo Lyc. Leocr. p. 177: *ἀλλὰ μὴν Αὐτολύκου μὲν κατεψηφίσασθε, μείναντος μὲν αὐτοῦ ἐν τοῖς κινδύνοις, ἔχοντος δ' αἰτίαν τοὺς υἱοὺς καὶ τὴν γυναῖκα ὑπεκθέσθαι, καὶ ἐτιμωρήσασθε.*

της ἐκπλεῖν μόνον εἰς Σάμον ἐπιχειρήσας ὡς προδότης τῆς πατρίδος αὐθημερὸν ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς θανάτῳ ἐζημιώθη. ἕτερος δ' ἐκπλεύσας εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρῴην μέν ποτε εἰσηγ-
253 γέλθη· εἰ δὲ μία ψῆφος μετέπεσεν, ὑπερώριστ' ἄν. ἀντιθῶμεν δὴ τὸ νυνὶ γιγνόμενον. ἀνὴρ ῥήτωρ, ὁ πάντων τῶν κακῶν αἴτιος, ἔλιπε μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, ἀπέδρα δ' ἐκ τῆς πόλεως· οὗτος στεφανοῦσθαι ἀξιοῖ καὶ κηρύττεσθαι οἴεται δεῖν. οὐκ ἀποπέμψετε τὸν ἄνθρωπον ὡς κοινὴν τῶν Ἑλλήνων συμφοράν; ἢ συλλαβόντες ὡς

1 *μόνον* k, *μόνος* x. *ἐγχ*. n. 2 *ἀπὸ* A^h. 3 *δ'* *om*. ek. *ἐπλεύσας* W, *ἐκπλ. ἰδιώτης* A^h Harp. Phot. Lex. 98, *ἰδιώτης ἐκπλ*. B. 4 *μέν* *add*. Harp. Phot. *εἰσαγγ.*] *add*. A^h: *καὶ ἴσαι αὐτῷ αἱ ψῆφοι ἐγένοντο*, B: *καὶ ἴσαι αἱ ψ. αὐτῷ ἐγ.*, *del*. W. 5 *μία ψῆφος* Harp. Phot., *μία μόνον* C (*μίαν* hlm). *ὑπερέπεσεν* Phot. *ὑπερώριστ' ἂν*] *add*. Harp. *καὶ ἀπέθανεν*, C: *ἢ ἀπέθ.*, *del*. A. Schaefer. 6 *νῦν* B. *γενόμ*. n. *τὸ πάντων* a. 7 *αἴτιον* a. 8 *ἀποδέδρακε* A^h.

*ἕτερος δ' ἐκπλεύσας*] Molestum additamentum est *ἰδιώτης*, molestius etiam, si ante participium ponatur. Quod si subsequatur, saltem privati hominis notitia denuo cum vi quadam et conmotione effertur. Sed utrumque falsum est. Intellegitur autem Leocrates, quem accusavit Lycurgus. Accusatio etiamnunc legitur. Causa haec disceptata est Ol. 112, 2. Cf. Schaefer III 199 sq.

*εἰσηγγέλθη*] Libri omnes addunt: *καὶ ἴσαι αὐτῷ αἱ ψῆφοι ἐγένοντο*. Sed quid opus erat ista senili profecto narratione, si extemplo sequeretur *εἰ δὲ μία μόνον μετέπεσεν*? Interpolatio facile demonstratur ex Harp. 102, ubi non modo *εἰ δὲ μία ψῆφος* legitur, sed etiam *πρῴην μέν ποτε*. Et hoc quidem auribus conmendatur et emblemate sublato facile concinnatur cum *εἰ δὲ μία ψῆφος κτλ*. Hoc autem nomen cum *μόνον* librarii conmutaverunt, postquam illud additamentum historicum in ordinem verborum se insinuaverat. Nec librariorum fraudem arguo, sed grammaticorum adnotatio in contextum cum irrepsisset, correctores pro suo ingenio et arte mutare erant coacti. Idemque Harp. confirmat etiam illud quod A. Schaefer III 201, 3 coniectavit, *ἀπέθανεν* tamquam explicationem ad *ὑπερώριστ' ἄν* adiectum esse. Nam qui *ἐξ εἰσαγγελίας* morte condemnati erant, eos in Attica sepeliri non licebat, cf. Hyp. II 16, 15: *ἐλάχιστον γάρ τοῦτό ἐστιν* (sc. *ὁ θάνατος*), *ἀλλ' ὑπὲρ τοῦ ἐξορισθῆναι καὶ ἀποθανόντα μηδὲ ἐν τῇ πατρίδι ταφῆναι*. Quare dicitur in hac re vel *ἐξορισθῆναι* vel *ὑπερορισθῆναι*, cf. 131. 244.

§ 253. *ἀξιοῖ καὶ — οἴεται δεῖν*] quasi vero *στεφανοῦσθαι* et *κηρύττεσθαι* res essent diversae! Sed hoc loco rhetoricam quandam vim et exaggerationem agnosco.

*ἀποπέμψετε*] *Ἀποπέμπειν* non est simpliciter relegare, sed *ἀποπομπὴν ποιεῖσθαι* velut piaculi et monstri, cf. Harp. s. v. Orelli. Lys. VI 53: *νῦν χρὴ νομίζειν τιμωρουμένους καὶ ἀπαλλοτομένους Ἀνδοκίδου τὴν πόλιν καθαίρειν καὶ ἀποδιοπομπεῖσθαι καὶ φαρμακὸν ἀποπέμπειν καὶ ἀλιτηρίου ἀπαλλάττεσθαι, ὡς ἐν τούτων οὗτός ἐστιν*.

*ληστὴν τῶν πραγμάτων, ἐπ᾽ ὀνομάτων διὰ τῆς πολιτείας πλέοντα, τιμωρήσεσθε; καὶ τὸν καιρὸν μὴν μνήσθητε ἐν* 254 *ᾧ τὴν ψῆφον φέρετε. ἡμερῶν μὲν ὀλίγων μέλλει τὰ Πύθια γίγνεσθαι καὶ τὸ συνέδριον τὸ τῶν Ἑλλήνων συλλέγεσθαι· διαβέβληται δ᾽ ἡ πόλις ἐκ τῶν Δημοσθένους πολιτευμάτων περὶ τοὺς νυνὶ καιρούς· δόξετε δ᾽, ἐὰν μὲν τοῦτον στεφανώσητε, ὁμογνώμονες εἶναι τοῖς παραβαίνουσι τὴν κοινὴν εἰρήνην, ἐὰν δὲ τοὐναντίον τούτου πράξητε, ἀπολύσετε τὸν δῆμον τῶν αἰτιῶν.*

*Μὴ οὖν ὡς περὶ ἀλλοτρίας, ἀλλ᾽ ὡς ὑπὲρ οἰκείας* 255 *τῆς πόλεως βουλεύεσθε, καὶ τὰς φιλοτιμίας μὴ νέμετε ἀλλὰ κρίνετε, καὶ τὰς δωρεὰς εἰς βελτίω σώματα καὶ ἄνδρας ἀξιολογωτέρους ἀπόθεσθε, καὶ μὴ μόνον τοῖς ὠσὶν ἀλλὰ καὶ τοῖς ὄμμασι διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς βουλεύσασθε, τίνες ὑμῶν εἰσιν οἱ βοηθήσοντες Δημοσθένει,*

2 *μὴν* Helmstad., *μὴ* C (*μέμνησθε* n). 3 *τὰ πύθια μέλλει* gm. 4 *alterum τὸ om.* Ah. 5 *ἡμῶν ἡ πόλις* B. 6 *νῦν* B. 7 *τοῦτον στεφανωθήσητε* m, *οὗτος στεφανώσηται* n. 8 *τούτου om.* a. 10 *περὶ* Ab, *ὑπὲρ* B. *ὑπὲρ* B, *περὶ* Ah. 13 *ἀξιολ. ἄνδρας* B. 15 *συνβοηθ.* n.

*ἐπ᾽ ὀνομάτων — πλέοντα*] Plin. ep. IX 26, 12 hanc dictionem ut nimis audacem vituperavit, sed cum *ληστὴς* praedonem maritimum significet, similitudo saltem convenienter efficta est. Praedones utuntur parvis navigiis, Demosthenes verbis et nominibus, illi infesti vagantur per maria, hic infestus persultat rempublicam, utrorumque studia praeda et rapina feruntur. Praedones denique omnes ut conmunes generis humani hostes abominamur, captos crudelissimis suppliciis ulciscimur.

§ 254. *καὶ μὴν*] = tempora vero reipublicae etiam considerate quaeso vobiscum.

*τὰ Πύθια*] Haec tertio quoque anno cuiusque Olympiadis sub Septembrem mensem celebrabantur, cf. A. Schaefer II 277. 511. III 205. Ol. tum erat 112, 3.

*διαβέβληται*] Erat hoc Amphictyonum concilium, cf. ad § 161. Dem. 18, 322: *Ἀμφικτυονικὰς δίκας ἐπαγόντων μοι.* Cum his terroribus haud inconmode Grote XII 388 conparavit ex Demosthenis oratione supremam illam perorationem: *ἡμῖν δὲ τοῖς λοιποῖς τὴν ταχίστην ἀπαλλαγὴν δότε τῶν ἐπηρτημένων φόβων καὶ σωτηρίαν ἀσφαλῆ.* Cf. Schaefer III 198, 3.

§ 255—259: Nona pars epilogorum, quibus vehementer animi audientium conmoventur, ut Demosthenis voluntatem et propter vitae turpitudinem et propter miserrimam reipublicae administrationem aspernentur. Contra illum tamquam testes Solonem Aristidem Themistoclem dignitatis et magnificentiae auctores orator produxit.

§ 255. *μὴ νέμετε ἀλλὰ κρίνετε*] i. e. nolite honores temere vel gratiae causa tribuere et profundere, sed cum iudicio rebus omnibus religiose consideratis deferre.

*ἀπόθεσθε*] tamquam pignora pretiosa, quibus beneficiorum fructus percipiatis.

πότερον οἱ συγκυνηγέται ἢ οἱ συγγυμνασταὶ αὐτοῦ, ὅτ'
ἦν ἐν ἡλικίᾳ. ἀλλὰ μὰ τὸν Δία τὸν Ὀλύμπιον οὐχ ὗς
ἀγρίους κυνηγετῶν οὐδὲ τῆς τοῦ σώματος εὐεξίας ἐπιμε-
λόμενος, ἀλλ' ἐπασκῶν τέχνας ἐπὶ τοὺς τὰς οὐσίας κε-
256 κτημένους διαγεγένηται. ... ἀλλ' εἰς τὴν ἀλαζονείαν ἀπο-
βλέψαντες, ὅταν φῇ Βυζαντίους μὲν ἐκ τῶν χειρῶν ἐξε-
λέσθαι τῶν Φιλίππου, ἀποστῆσαι δὲ Ἀκαρνᾶνας, ἐκ-
πλῆξαι δὲ Θηβαίους δημηγορήσας· οἴεται γὰρ ὑμᾶς εἰς
τοσοῦτον εὐηθείας ἤδη προβεβηκέναι ὥστε καὶ ταῦτα
ἀναπεισθήσεσθαι, ὥσπερ Πειθὼ τρέφοντας ἀλλ' οὐ συ-
257 κοφάντην ἄνθρωπον ἐν τῇ πόλει. ὅταν δ' ἐπὶ τελευτῆς
ἤδη τοῦ λόγου συνηγόρους τοὺς κοινωνοὺς τῶν δωροδο-
κημάτων αὐτῷ παρακαλῇ, ὑπολαμβάνετε ὁρᾶν ἐπὶ τοῦ
βήματος, οὗ νῦν ἑστηκὼς ἐγὼ λέγω, ἀντιπαρατεταγμέ-
νους πρὸς τὴν τούτων ἀσέλγειαν τοὺς τῆς πόλεως εὐερ-
γέτας, Σόλωνα μὲν τὸν καλλίστοις νόμοις κοσμήσαντα
τὴν δημοκρατίαν, σωφρόνως δεόμενον ὑμῶν μηδενὶ τρό-
πῳ τοὺς Δημοσθένους λόγους περὶ πλείονος ποιήσασθαι
258 τῶν ὅρκων καὶ τῶν νόμων, Ἀριστείδην δὲ τὸν τοὺς φό-

1 κυνηγέται e. οἱ *om.* n. ὅτ' ὃς n. 3 ἐπιμελόμ. ka, ἐπιμελούμ. x, *quod addebatur* διατετέλεκεν *om.* Bekk. *cum* A$^h$.
5 Aliquid excidisse vidit Fr. 6 τοὺς βυζ. gm, βυζάντιον n. ἐξελ. W, ἐξελ. πρεσβεύσας A$^h$, πρεσβ. ἐξελ. B. 7 τῶν kn, τοῦ x. 8 ἡμᾶς A. 9 ἤδη *om.* n. 10 ἀναπεισθήσεται n.
11 ἐν *om.* n. Rhet. Gr. III 19. 21. 17 δημοκρ.] *add.* C: ἄνδρα φιλόσοφον καὶ νομοθέτην ἀγαθόν, *del.* W. σωφρ.] *add.* C: ὡς προσῆκεν αὐτῷ (ὥσπερ n), *del.* W. 19 δὲ *om.* el. νε-

§ 256. ἐξελέσθαι] sc. δημηγορήσας, non πρεσβεύσας. Atque illud rei ipsius veritate conprobatur, nam Demosthenis potissimum auctoritate adducti unam certe classem Athenienses auxilio Byzantinis miserant. Nec tamen Byzantium Demosthenis opera sed unius Phocionis virtute Philippo ereptum esse ex Plut. Phoc. 14 plane demonstravit L. Spengel, Verth. Ktesiph. 29 sq.

Πειθώ] Cic. Brut. 59: Πειθώ quam Graeci vocant, — hanc Suadam appellavit Ennius, quam deam in Periclis labris scripsit Eupolis sessitavisse. Demosthenem igitur pravam Periclis imaginem esse Aesch. existimat.

τρέφοντας] Invidiam quandam hoc verbum habet, sc. quaestum facere Demosthenem ex reipublicae cura. Cf. etiam Cornif. IV 48: etiam eum, cuius opera nobis haec accidunt, remoramini diutius et alitis ad reip. perniciem, retinetis quoad potestis in civitate?

§ 257. ὑπολαμβάνετε ὁρᾶν] Cf. 244. Alex. schem. III 19. 21. Nobile hoc erat προσωποποιΐας exemplum.

σωφρόνως ὡς κτλ.] Cf. § 2 et Schol. II 60: κατὰ τὸν νόμον, ἀντὶ τοῦ ὡς ὁ νόμος κελεύει, καὶ εὐτάκτως.

§ 258. τὸν — τάξαντα] Hoc membrum si abesset, orationis

*ρους τάξαντα τοῖς Ἕλλησιν, οὗ τελευτήσαντος τὰς θυγατέρας ἐξέδωκεν ὁ δῆμος, σχετλιάζοντα ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ, καὶ ἐπερωτῶντα εἰ οὐκ αἰσχύνεσθε εἰ οἱ μὲν πατέρες ὑμῶν Ἄρθμιον τὸν Ζελείτην κομίσαντα εἰς τὴν Ἑλλάδα τὸ ἐκ Μήδων χρυσίον, ἐπιδημήσαντα εἰς τὴν πόλιν, πρόξενον ὄντα τοῦ δήμου τοῦ Ἀθηναίων, παρ' οὐδὲν μὲν ἦλθον ἀποκτεῖναι, ἐξεκήρυξαν δ' ἐκ τῆς πόλεως καὶ ἐξ ἁπάσης ἧς Ἀθηναῖοι ἄρχουσιν, ὑμεῖς δὲ*
*Δημοσθένην, οὐ κομίσαντα τὸ ἐκ Μήδων χρυσίον ἀλλὰ* 259
*δωροδοκήσαντα καὶ ἔτι καὶ νῦν κεκτημένον, χρυσῷ στεφάνῳ μέλλετε στεφανοῦν. Θεμιστοκλέα δὲ καὶ τοὺς ἐν Μαραθῶνι τελευτήσαντας καὶ τοὺς ἐν Πλαταιαῖς καὶ αὐτοὺς τοὺς τάφους τοὺς τῶν προγόνων οὐκ οἴεσθε στενάξειν, εἰ ὁ μετὰ τῶν βαρβάρων ὁμολογῶν τοῖς Ἕλλησιν ἀντιπράττειν στεφανωθήσεται;*

*Ἐγὼ μὲν οὖν, ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ καὶ σύνεσις* 260

*μους* a. 4 *ὅτι οἱ* A[h] Alex., *εἰ οἱ* B Alex.[2] *ἡμῶν* k., *ἀρίθμιον* elh. 5 *τὴν om.* gm. 6 *τοῦ ἀθην.* km, *τῶν ἀθ.* x. 7 *μὲν om.* A[h]. *δ' om.* n. 8 *ἄρχουσιν ἀθ.* A[h]. 9 *χρυσίον*] *χρυσίον ἐπιδημήσαντα . . . ἀθηναίων* (*ex* § 258) klh. 13 *alterum τοὺς om.* A[h]gn. *οὐκ ἂν* en. *στενάξαι* agm, *ἀναστενάξαι* n. 15 *ἀντιπρᾶξαι* n.

concinnitas perturbaretur. Nam et Solonem et Aristidem Aeschines sua utrumque laude, quae est in egregio aliquo facinore, exornavit et honestavit. Accedit quod illud, filiabus publice dotem esse contributam, per se parum praeclarum videtur, nisi propria sententia enuntietur, Aristidem magnas quidem publicas pecunias tractasse sed pauperem tamen mortuum esse.

*Ἄρθμιον*] Dinarch. II 24: *καλῶς οἱ πρόγονοι ψηφισάμενοι στήλην εἰς ἀκρόπολιν ἀνήνεγκαν, ὅτε φασὶν Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην κομίσαι τὸ χρυσίον ἐκ Μήδων ἐπὶ διαφθορᾷ τῶν Ἑλλήνων. καὶ μόνῳ τούτῳ προσέγραψαν τὴν αἰτίαν, δι' ἣν ὁ δῆμος ἐξέβαλεν αὐτὸν ἐκ τῆς πόλεως, γράψαντες διαρρήδην· Ἄρθμιον τ. Π. τ. Ζ. πολέμιον εἶναι τοῦ δήμου καὶ τῶν συμμάχων, αὐτόν τε καὶ γένος, καὶ φεύγειν Ἀθήνας, ὅτι τὸν ἐκ Μήδων χρυσὸν ἤγαγεν εἰς Πελοπόννησον.* Cum his cf. Dem. IX 42. XIX 271. Plut. Them. 6.

§ 260. Peroratio desinit in testificationem deorum, quorum fidem inplorat se pro officio suo et pro viribus accusasse, iustitiae curam et salutem reipublicae iudicum iam religioni esse permissam.

*ὦ γῆ κτλ.*] Acerbius quam deceret hanc perorationem irrisit Dem.: *ὥσπερ ἐν τραγῳδίᾳ βοῶντα ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ καὶ τὰ τοιαῦτα, καὶ πάλιν σύνεσιν καὶ παιδείαν ἐπικαλούμενον, ᾗ τὰ καλὰ καὶ αἰσχρὰ διαγιγνώσκεται κτλ.* Nam Tellurem et Solem Demosthenes ipse idque saepius invocavit, Virtus autem et Prudentia et Disciplina appellatur, ut iudicibus harum rerum memoria officiorumque ratio inculcetur. In his enim rebus omnis causa vertebatur. Illud vero men-

καὶ παιδεία, ᾗ διαγιγνώσκομεν τὰ καλὰ καὶ τὰ αἰσχρά, βεβοήθηκα καὶ εἴρηκα. καὶ εἰ μὲν καλῶς καὶ ἀξίως τοῦ ἀδικήματος κατηγόρηκα, εἶπον ὡς ἐβουλόμην, εἰ δὲ ἐνδεεστέρως, ὡς ἐδυνάμην. ὑμεῖς δὲ καὶ ἐκ τῶν εἰρημένων λόγων καὶ ἐκ τῶν παραλελειμμένων αὐτοὶ τὰ δίκαια καὶ τὰ συμφέροντα ὑπὲρ τῆς πόλεως ψηφίσασθε.

1 καὶ αἰσχρά lh. 2 βεβόηκα elh. 5 παραλειπομένων A[h].

dacium est rhetoricum καὶ πάλιν ἐπικαλούμενον, quasi iteratione Aeschines modum excesserit. Immo vero modum adhibuit Aeschines multo magis quam Demosthenes.

καλῶς καὶ ἀξίως] cf. Frohberg. Lys. XII 3.

ἐκ τῶν παραλελειμένων] Ex eis quae in oratione praetermittenda ducebam. Nam in lubrico Aeschines erat: multa disserere debuerat ille quidem, nec tamen poterat, ne vanitatem et gloriam Atheniensium nimium offenderet. Plura etiam de reipublicae administratione ac fortuna praetermittere coactus erat, quia homines tum quae ipse sentiret parum mentibus animisque adsequi posse videret. Nam alia consilia rempublicam Periclis aetate sequi potuisse, alia debuisse Demosthenis tempestate sibi proponere, hoc parum tum homines vel prudentissimi perspexerant. De rhetorica formula cf. Lys. 31, 34: ἱκανά μοι νομίζω εἰρῆσθαι, καίπερ πολλά γε παραλιπών· ἀλλὰ πιστεύω ὑμῖν καὶ ἄνευ τούτων αὐτοὺς τὰ συμφέροντα τῇ πόλει γνώσεσθαι.